ἀφήγημα, τοῖς μὲν εἰδόσιν ὑπόμνησιν,[3] τοῖς δὲ ἀγνοοῦσι διδασκαλίαν.

§ 21. Σοφιστομανοῦσιν[2] Ἀθήνησι τῶν νέων οἱ πλεῖστοι καὶ ἀφρονέστεροι, οὐ τῶν ἀγεννῶν μόνον καὶ τῶν ἀνωνύμων, ἀλλ' ἤδη καὶ τῶν εὖ γεγονότων καὶ περιφανεστέρων, ἅτε πλῆθος σύμμικτον ὄντες, καὶ νέοι, καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς. Ὅπερ οὖν πάσχοντάς ἐστι ὁρᾷν περὶ τὰς ἀντιθέτους ἱπποδρομίας τοὺς φιλίππους τε καὶ φιλοθεάμονας, πηδῶσι,[3] βοῶσιν, οὐρανῷ πέμπουσι κόνιν, ἡνιοχοῦσι καθήμενοι, παίουσι τὸν ἀέρα, τοὺς ἵππους δὴ τοῖς δακτύλοις, ὡς μάστιξι ζευγνύουσι, μεταζευγνύουσιν· οὐδενὸς ὄντες κύριοι, ἀντιδιδόασιν[4] ἀλλήλοις ῥᾳδίως,[5] ἡνιόχους, ἵππους, ἱπποστασίας, στρατηγούς· καὶ ταῦτα[6] τίνες; οἱ πένητες πολλάκις καὶ ἄποροι, καὶ μηδ' ἂν εἰς μίαν ἡμέραν τροφῆς εὐπορήσαντες. Τοῦτο καὶ αὐτοὶ πάσχουσιν ἀτεχνῶς περὶ τοὺς ἑαυτῶν διδασκάλους καὶ ἀντιτέχνους· ὅπως πλείους τε ὦσιν αὐτοί, κἀκείνους εὐπορωτέρους ποιῶσι δι' ἑαυτῶν σπουδὴν ἔχοντες.[7] Καὶ τὸ πρᾶγμά[8] ἐστιν ἐπιεικῶς ἄτοπον καὶ δαιμόνιον· προκαταλαμβάνονται πόλεις, ὁδοί, λιμένες, ὀρῶν ἄκρα, πεδία, ἐσχατιαί, οὐδὲν ὅ,τι μὴ τῆς Ἀττικῆς μέρος,[9] ἢ τῆς λοιπῆς Ἑλλάδος, αὐτῶν τῶν οἰκητόρων οἱ πλεῖστοι·[10] καὶ γὰρ τούτους μεμερισμένους ταῖς σπουδαῖς ἔχουσιν.

§ 22. Ἐπεὶ δ' ἂν οὖν τις ἐπιστῇ τῶν νέων, καὶ ἐν χερσὶ γένηται τῶν ἐχόντων·[2] γίνεται δὲ[3] ἢ βιασθεὶς, ἢ ἑκών· νόμος οὗτος ἐστὶν αὐτοῖς Ἀττικὸς, καὶ παιδιὰ σπουδῇ σύμμικτος. Πρῶτον μὲν ξεναγεῖται παρά τινι τῶν προειληφότων, ἢ φίλων, ἢ συγγενῶν, ἢ τῶν ἐκ τῆς αὐτῆς πατρίδος, ἢ τῶν ὅσοι περιττοὶ τὰ σοφιστικὰ, καὶ προσαγωγοὶ[4] τῶν λημμάτων, κἀντεῦθεν μάλιστα διὰ τιμῆς[5] ἐκείνοις· ἐπεὶ καὶ τοῦτο μισθός ἐστιν αὐτοῖς τῶν σπου-

---

στιθέμενος καὶ ἔμφασιν. — 3. Ὑπόμνησιν.) Ὧν τὸ ἀφήγημα τοῦτο.

§ 21. 2. Σοφιστομανοῦσιν.) Ἐκ περισσοῦ μαίνονται οἱ νέοι περὶ τοὺς οἰκείους σοφιστὰς καὶ διδασκάλους, ἵν' ὅτι πλείστους ἔχωσι μαθητάς. — 3. Πηδῶσιν.) Οἱ φίλιπποι δηλ. καὶ φιλοθεάμονες· διὰ γοργότητα ἀπὸ τοῦ πλαγιασμοῦ ἀνώρθωτε τὸ σχῆμα τοῦ λόγου ἐλλειπτικῶς. — 4. Ἀντιδιδόασιν.) Φασὶ πρὸς τοὺς ἀντιθέτους, ἀντίδοτε ἡμῖν τοὺς ἵππους, οὓς ἔχετε, καὶ τοὺς ἡνιόχους καὶ τὸν δήμαρχον, καὶ λάβετε τοὺς ἡμετέρους· καὶ ὄψεσθε πόσον ὑμᾶς νικήσομεν. — 5. Ῥᾳδίως.) Τῇ γὰρ φαντασίᾳ πᾶν δύναταί τις ποιεῖν ῥᾳδίως. — 6. Καὶ ταῦτα.) Ποιοῦσι τίνες; — 7. Σπουδὴν ἔχοντες.) Ἐπιμελούμενοι. — 8. Καὶ τὸ πρᾶγμα.) Τὸ παρὰ τῶν μαθητῶν γενόμενον. — 9. Οὐδὲν ὅ,τι μὴ τῆς Ἀττικ. μέρος.) Ἤτοι πᾶν μέρος τῆς Ἀττικῆς προκαταλαμβάνεται. Οὐδὲν γὰρ ἐστὶ μέρος τῆς Ἀττικῆς, ὅπερ οὐ προκαταλαμβάνεται ὑπὸ τῶν ἐν Ἀθήναις νέων, ἵνα τοὺς ἐρχομένους πρὸς τὸ μανθάνειν πρὸς τοὺς οἰκείους ἄγωσι διδασκάλους. — 10. Οἱ πλεῖστοι.) Ἀπὸ κοινοῦ τὸ Προκαταλαμβάνονται. Καὶ τοὺς οἰκήτορας γὰρ τῆς Ἀττικῆς μεμερισμένους ἔχουσι ταῖς ἑαυτῶν προκαταλήψεσιν οἱ μαθηταί.

§ 22. 2. Τῶν ἐχόντων.) Τοὺς τόπους τούτους καὶ τὰ. — 3. Γίνεται δέ.) Ἐν χερσὶ δηλ. εἴτ' οὖν λαμβάνεται. — 4. Καὶ προσαγωγοί.) Καὶ πρόξενοι δηλ. λημμάτων καὶ κέρδους τοῖς ἑαυτῶν διδασκάλοις γίνονται. — 5. Διὰ τιμῆς.)

δαστῶν[6] τυγχάνειν. Ἔπειτα ἐρεσχελεῖται παρὰ τοῦ βουλομένου παντός· βούλεται δὲ αὐτοῖς, οἶμαι, τοῦτο, τῶν νεηλύδων συστέλλειν τὸ φρόνημα, καὶ ὑπὸ χεῖρα σφῶν ἀπ' ἀρχῆς ἄγειν. Ἐρεσχελεῖται[7] δὲ, παρὰ μὲν τῶν,[8] θρασύτερον, παρὰ δὲ τῶν, λογικώτερον· ὅπως ἂν ἀγροικίας, ἢ ἀστειότητος ἔχῃ.[9] Καὶ τὸ πρᾶγμα τοῖς μὲν ἀγνοοῦσι λίαν φοβερὸν καὶ ἀνήμερον, τοῖς δὲ προειδόσι, καὶ μάλα ἡδὺ καὶ φιλάνθρωπον· πλείων γάρ ἐστιν ἡ ἔνδειξις, ἢ τὸ ἔργον τῶν ἀπειλουμένων. Ἔπειτα πομπεύει[10] διὰ τῆς ἀγορᾶς ἐπὶ τὸ λουτρὸν προαγόμενος· ἡ πομπὴ δὲ,[11] διατάξαντες ἑαυτοὺς στοιχηδὸν κατὰ συζυγίαν ἐκ διαστήματος, οἱ τελοῦντες τῷ νέῳ τὴν πρόοδον, ἐπὶ τὸ λουτρὸν προπέμπουσιν. Ἐπεὶ δ' ἂν πλησιάζωσι, βοῇ τε πολλῇ καὶ ἐξάλμασι χρώμενοι,[12] καθάπερ ἐνθουσιῶντες· κελεύει δὲ ἡ βοὴ, μὴ προβαίνειν, ἀλλ' ἵστασθαι, ὡς τοῦ λουτροῦ σφᾶς οὐ παραδεχομένου, καὶ ἅμα τῶν θυρῶν ἀρασσομένων, πατάγῳ τὸν νέον φοβήσαντες. Εἶτα τὴν εἴσοδον συγχωρήσαντες, οὕτως ἤδη τὴν ἐλευθερίαν διδόασι, ὁμότιμον ἐκ τοῦ λουτροῦ, καὶ ὡς αὐτῶν ἕνα δεχόμενοι. Καὶ τοῦτό ἐστιν αὐτοῖς τῆς τελετῆς τὸ τερπνότατον, ἡ ταχίστη τῶν λυπούντων ἀπαλλαγὴ καὶ κατάλυσις.

§ 23. Τότε τοίνυν ἐγὼ τὸν ἐμὸν καὶ μέγαν Βασίλειον, οὐκ αὐτὸς δι' αἰδοῦς ἦγον μόνον, τό,τε τοῦ ἤθους στάσιμον καθορῶν, καὶ τὸ ἐν λόγοις καίριον· ἀλλὰ καὶ τοὺς ἄλλους ἔπειθον ὁμοίως ἔχειν, ὅσοι τῶν νέων ἀγνοοῦντες τὸν ἄνδρα ἐτύγχανον. Τοῖς γὰρ πολλοῖς εὐθὺς αἰδέσιμος ἦν, ἀκοῇ προκατειλημμένοις· ἐξ οὗ τί γίνεται; μόνος σχεδὸν τῶν ἐπιδημούντων τὸν κοινὸν διέφυγε νόμον, κρείττονος ἢ κατὰ νέηλυν ἀξιωθεὶς τιμῆς. Τοῦτο ἡμῖν τῆς φιλίας προοίμιον! ἐντεῦθεν ὁ τῆς συναφείας σπινθήρ! οὕτως ἐπ' ἀλλήλοις ἐτρώθημεν! ἔπειτα συνηνέχθη τι καὶ τοιοῦτον· οὐδὲ γὰρ τοῦτο παραλιπεῖν ἄξιον.

§ 24. Οὐχ ἁπλοῦν γένος εὑρίσκω τοὺς Ἀρμενίους, ἀλλὰ καὶ λίαν κρυπτόν τι καὶ ὕφαλον.[2] Τότε τοίνυν τῶν ἐκ πλείονος αὐτῷ συνήθων καὶ φίλων τινὲς, ἔτ' ἐκ τοῦ πατρὸς καὶ τῆς ἄνωθεν

---

Εἴσιν, ἢ ἄγονται εἴτ' οὖν τιμῶνται παρὰ τῶν διδασκάλων οἱ μαθηταὶ, ὅσοι καὶ ἄλλους πρὸς αὐτοὺς φέρουσι μαθητάς. — 6. Τῶν σπουδαστῶν.) Τὸ τυγχάνειν δηλ. τῶν συσπουδαστῶν, εἴτ' οὖν μαθητῶν· ὁ νοῦς· οἱ γὰρ διδάσκαλοι καὶ τοῦτο ἡγοῦνται μισθὸν, τὸ ἔχειν τινὰς μαθητὰς σπουδάζοντας περὶ αὐτούς. — 7. Ἐρεσχελεῖται.) Ἐριστικῶς δηλαδὴ ἐρωτᾶται. — 8. Παρὰ μὲν τῶν.) Παρά τινων μὲν .. παρά τινων δέ. — 9. Ἔχῃ.) Ἕκαστος δηλ. τῶν ἀρχομένων μαθητῶν· ὁ μὲν γὰρ ἀστεῖος, ἀστεῖα ἐρωτᾶται, ὁ δὲ ἀγροῖκος, θρασέα. — 10. Πομπεύει.) Ἀμεταβάτως τὸ, μετὰ τιμῆς δημοσίᾳ προάγεται. — 11. Ἡ πομπὴ δέ.) Ἐστὶ τοιαύτη. — 12. Χρώμενοι.) Ἀπὸ κοινοῦ τὸ Πομπεύουσι.

§ 24. 2. Καὶ ὕφαλοι.) Καὶ κατὰ τὰς ὑφάλους πέτρας, αἵτινες ὑπὸ μικρῷ ὕδατι ἐν θαλάσσῃ κρυπτόμεναι, κινδύνου παραίτιοι γίνονται τοῖς πλέουσι, τὰ προσεγγίζοντα πλοῖα συντρί-

ΕΡΓ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἑταιρείας καὶ γὰρ ἐκείνης τῆς διατριβῆς ὄντες ἐτύγχανον,[3] προσιόντες αὐτῷ μετὰ φιλικοῦ πλάσματος, (φθόνος δὲ ἦν, οὐκ εὔνοιαν τὸ προσάγον·) ἐπηρώτων τε αὐτὸν φιλονείκως μᾶλλον ἢ λογικῶς· καὶ ὑποκλίνειν ἑαυτοῖς ἐπειρῶντο διὰ τῆς πρώτης ἐπιχειρήσεως, τήν τε ἄνωθεν τοῦ ἀνδρὸς εὐφυΐαν εἰδότες, καὶ τὴν τότε τιμὴν οὐ φέροντες. Δεινὸν γὰρ εἶναι,[4] εἰ προειληφότες τοὺς τρίβωνας, λαρυγγίζειν προμελετήσαντες, μὴ πλέον ἔχοιεν τοῦ ξένου τε καὶ νεήλυδος. Ἐγὼ δὲ ὁ φιλαθήναιος καὶ μάταιος, οὐ γὰρ ᾐσθόμην τοῦ φθόνου, ἐπίστευον τῷ πλάσματι, ἤδη κλινομένων αὐτῶν καὶ τὰ νῶτα μεταβαλλόντων. Καὶ γὰρ ἐζηλοτύπουν τὸ τῶν Ἀθηνῶν κλέος ἐν ἐκείνοις καταλυθῆναι, καὶ τάχιστα περιφρονηθῆναι, ὑπήρειδόν τε τοὺς νεανίας, ἐπανάγων τὸν λόγον καὶ τὴν παρ' ἐμαυτοῦ ῥοπὴν χαριζόμενος (δύναται δὲ καὶ ἡ μικρὰ προσθήκη τὸ πᾶν ἐν τοῖς τοιούτοις·) ἴσας ὑσμίνη[5] τὰς κεφαλάς, τὸ τοῦ λόγου, κατέστησα. Ὡς δὲ τὸ τῆς διαλέξεως ἔγνων ἀπόῤῥητον, οὐδὲ καθεκτὸν ἔτι τυγχάνον, ἀλλὰ σαφῶς ἤδη παραγυμνούμενον, ἐξαίφνης μεταβαλλών, πρύμναν[6] τε ἐκρουσάμην, ἐκείνῳ θέμενος,[7] καὶ ἑτεραλκέα[8] τὴν νίκην ἐποίησα. Ὁ δέ,[9] ἥσθη τε αὐτίκα τῷ γενομένῳ· καὶ γὰρ ἦν ἀγχίνους, εἴ καί τις ἄλλος·[10] καὶ προθυμίας πλησθείς, ἵνα τελέως αὐτὸν καθομηρίσω, ἔρεπε[11] κλονέων τῷ λόγῳ τοὺς γεννάδας ἐκείνους, καὶ παίων συλλογισμοῖς· οὐ πρὶν ἀνῆκεν,[12] ἢ τελέως τρέψασθαι, καὶ τὸ κράτος καθαρῶς ἀναδύσασθαι. Οὗτος δεύτερος ἡμῖν τῆς φιλίας σπινθήρ, ἀλλ' ἤδη πυρσὸς ἀνάπτεται περιφανής, καὶ αἴθριος.

§ 25. Οἱ μὲν οὖν οὕτως ἀπῆλθον ἄπρακτοι, πολλὰ μὲν τῆς προπετείας ἑαυτοῖς καταμεμψάμενοι, πολλὰ δὲ τῆς ἐπιβουλῆς, ἐμοὶ

---

θῆναι. — 3. Ὄντες ἐτύγχανον.) Ἀντὶ Ἦσαν τῆς κατὰ Πόντον σχολῆς συμμαθηταὶ τοῦ μεγ. Βασ. ἀπὸ τοῦ πατρὸς αὐτοῦ διδασκόμενοι. — 4. Δεινὸν γὰρ εἶναι.) Ἐννοεῖται Ἐνόμιζον, ἢ τοιοῦτό τι, ἐὰν αὐτοί, οἵτινες προέλαβον τοὺς τρίβωνας, τὸ φιλοσοφικὸν ἱμάτιον. — 5. Ἴσας ὑσμίνη.) Ὁμηρ. Ἰλ. λ. στιχ. 72. Ἴσας δ' ὑσμίνη κεφαλὰς ἔχεν ... ὅπερ ἐστίν· ἐν τῇ μάχῃ ἴσας εἶχον τὰς κεφαλάς· τοῦτ' ἔστιν ἐξίσωτο αὐτοῖς ἡμᾶς ἡ μάχη. Σχολ. Ὁμηρ. αὐτόθι· ὅθεν καὶ τὸ Ἴσας ὑσμίνη κεφαλὰς κατέστησα, δηλοῖ ἰσοῤῥόπους ἐποίησα ἐν τῇ τοῦ λόγου μάχῃ. — 6. Πρύμναν.) Ἀπὸ μεταφορᾶς τῶν πλοίων ὅταν ἀναποδίζοντες, ἀναχωρῶσιν ὥστε τὴν μὲν πρύμναν ἔμπροσθεν ποιεῖν τὴν δὲ πρῶραν ὄπισθεν· ὅπερ μάλιστα γίνεται ὅταν ἀναχώρησις γίνηται ἀνεπαίσθητος· ἔστι δὲ καὶ παροιμία ἐπὶ τῶν ἐμπείρως ἐπιστρεφόντων. — 7. Θέμενος.) Ἐμαυτὸν προστιθεὶς ἐκείνῳ. — 8. Ἑτεραλκέα.) Ἀπὸ μεταφορᾶς τῶν σταθμιζομένων· οἷς προστιθεμένου τινὸς ἐπὶ τῆς μιᾶς πλάστιγγος, ἡ ῥοπὴ ἐπὶ τοῦτο γίνεται καὶ ὁλκή· καὶ ἔστιν· ἑτεροδύναμον καὶ πρὸς τὸν μέγ. Βασίλ. ἀποκλίνουσαν τὴν νίκην ἐποίησα. — 9. Ὁ δέ.) Μέγ. Βασίλ. — 10. Εἰ καί τις ἄλλος.) Ὑπὲρ πάντα ἄλλον. — 11. Ἔρεπε.) Ὁμηρ. Ἰλ. Λ'. στίχ. 496.

Ὡς ἔρεπε κλονέων πεδίον τότε φαίδιμος Αἴας.

— 12. Οὐ πρὶν ἀνῆκεν.) Οὐκ ἀνῆκε πρότερον πρὶν ἢ τελέως καὶ τλ.

Ε.Γ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

δυσχεράναντες, ὡς καὶ φανερὰν ἔχθραν ὁμολογῆσαι,[2] καὶ προδοσίαν ἐπικαλεῖν οὐκ ἐκείνων μόνον, ἀλλὰ καὶ αὐτῶν Ἀθηνῶν, ὡς διὰ τῆς πρώτης πείρας ἐληλεγμένων, καὶ ᾐσχυμμένων ὑφ' ἑνὸς ἀνδρὸς, καὶ ταῦτα[3] μηδὲ τοῦ θαῤῥεῖν καιρὸν ἔχοντος. Ὁ δὲ,[4] (καὶ γὰρ ἀνθρώπινον τὸ πάθος, ὅταν μεγάλα ἐλπίσαντες, ἀθρόως τοῖς ἐλπισθεῖσιν ἐντύχωμεν, ἐλάττω τῆς δόξης ὁρῶντες τὰ φαινόμενα·) τοῦτο καὶ αὐτὸς[5] πάσχων ἐσκυθρώπαζεν, ἐδυσφόρει, τῆς ἐπιδημίας ἑαυτὸν ἐπαινεῖν οὐκ εἶχεν· ἐζήτει τὸ ἐλπισθὲν, κενὴν μακαρίαν[6] τὰς Ἀθήνας ὠνόμαζεν. Ὁ μὲν δὴ ταῦτα·[7] Ἐγὼ δὲ τῆς λύπης ἀφῄρουν τὸ πλεῖστον, καὶ λογικῶς συγγινόμενος, καὶ κατεπᾴδων τοῖς λογισμοῖς, καὶ ὅπερ ἦν ἀληθὲς, οὔτε ἦθος ἀνδρὸς εὐθὺς ἁλωτὸν εἶναι λέγων, ὅτι μὴ χρόνῳ πολλῷ καὶ συνουσίᾳ τελεωτέρᾳ, οὔτε παίδευσιν τοῖς πειρωμένοις ἐξ ὀλίγων τε καὶ ὀλίγῳ γνωρίζεσθαι. Ὅθεν ἐπανῆγον αὐτὸν εἰς τὸ εὔθυμον, καὶ πεῖραν διδοὺς καὶ λαμβάνων, πλέον ἐμαυτῷ συνέδησα.

§ 26. Ὡς δὲ προϊόντος τοῦ χρόνου, τὸν πόθον ἀλλήλοις καθωμολογήσαμεν, καὶ φιλοσοφίαν[2] εἶναι τὸ σπουδαζόμενον, τηνικαῦτα ἤδη τὰ πάντα ἦμεν ἀλλήλοις, ὁμόστεγοι, ὁμοδίαιτοι, συμφυεῖς, τὸ ἓν βλέποντες, ἀεὶ τὸν πόθον ἀλλήλοις συναύξοντες θερμότερόν τε καὶ βεβαιότερον. Οἱ μὲν γὰρ τῶν σωμάτων ἔρωτες, ἐπειδὴ ῥεόντων εἰσὶ, καὶ ῥέουσιν ἴσα καὶ ἠρινοῖς ἄνθεσιν· οὔτε γὰρ φλὸξ μένει τῆς ὕλης δαπανηθείσης, ἀλλὰ τῷ ἀνάπτοντι συναπέρχεται, οὔτε πόθος ὑφίσταται μαραινομένου τοῦ ὑπεκκαύματος. Οἱ δὲ κατὰ Θεόν τε καὶ σώφρονες,[3] ἐπειδὴ πράγματος ἑστῶτός εἰσι, διὰ τοῦτο καὶ μονιμώτεροι. Καὶ ὅσῳ πλέον[4] αὐτοῖς τὸ κάλλος φαντάζεται, τοσούτῳ μᾶλλον ἑαυτῷ τε, καὶ ἀλλήλοις συνδεῖ τοὺς τῶν αὐτῶν ἐραστάς· οὗτος τοῦ ὑπὲρ ἡμᾶς[5] ἔρωτος νόμος!

§ 27. Αἰσθάνομαι μὲν οὖν ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος, καὶ οὐκ οἶδ' ὅπως εἰς τούτους ἐμπίπτω τοὺς λόγους, οὐκ ἔχω δ' ὅπως[2] ἐμαυτὸν ἐπίσχω τοῦ διηγήματος· Ἀεὶ γάρ μοι τὸ παρατεθὲν ἀναγκαῖον φαίνεται, καὶ κρεῖττον τοῦ προληφθέντος· κἂν με τις ἀπάγῃ τοῦ πρόσω τυραννικῶς, τὸ τῶν πολυπόδων πειςο-

---

§ 25. 2. Ὡς .. ὁμολογῆσαι.) Ὥστε ὁμολ. — 3. Καὶ ταῦτα.) Ἐννοεῖται, παθεῖν λεγόντων, ἐκείνου μηδὲ τοῦ θαῤῥεῖν καὶ τλ. — 4. Ὁ δὲ.) Μέγ. Βασίλ. — 5. Τοῦτο καὶ αὐτὸς.) Ἐπανάληψις, διὰ τὸ ἐμπαρεμβυσθὲν ἐν παρενθέσει. — 6. Κενὴν μακαρίαν.) Ματαίαν δηλ. εὐδαιμονίαν. — 7. Ὁ μὲν δὴ ταῦτα.) Ἐποίει δηλ.

§ 26. 2. Φιλοσοφίαν.) Ἐπίγνωσιν δηλ. τῆς ἀληθείας καὶ πρᾶξιν τῆς ἀρετῆς. — 3. Οἱ δὲ κατὰ Θεόν τε καὶ σώφρονες.) Ἔρωτες δηλ. — 4. Καὶ ὅσῳ πλέον.) Καὶ ὅσῳ πλέον ἐν φαντασίᾳ γίνεται τὸ κάλλος αὐτῶν τῶν ἐρώτων, τοσούτῳ μᾶλλον αὐτὸ τὸ κάλλος τῶν θείων ἐρώτων συνδέει τοὺς τῶν αὐτῶν ἐραστὰς ἑαυτῷ τε καὶ ἀλλήλοις. — 5. Τοῦ ὑπὲρ ἡμᾶς.) Τοῦ θείου καὶ οὐρανίου.

§ 27. 2. Οὐκ ἔχω δ' ὅπως.) Κατ' οὐδένα δηλ. τρόπον οὐ δύναμαι ἐπι-

Εργ. Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μαι, ὧν τῆς θαλάμης ἐξελκομένων, προσέχονται ταῖς κοτύλαις αἱ πέτραι, καὶ οὐ πρὶν ἀφεθήσονται, ἢ παρ' ἀλλήλων τι προσλαβεῖν ἐκ τῆς βίας. Εἰ μὲν οὖν συγχωρήσοι[3] τις, ἔχω τὸ ζητούμενον· εἰδὲ μή,[4] παρ' ἐμαυτοῦ λήψομαι.[5]

§ 28. Οὕτω δὴ πρὸς ἀλλήλους ἔχοντες, καὶ τοιαύτας ὑποστήσαντες εὐτυχεῖ θαλάμῳ χρυσέας κίονας, ὅ φησι Πίνδαρος,[2] οὕτως ἤειμεν εἰς τὸ πρόσω Θεῷ καὶ πόθῳ συνεργοῖς χρώμενοι· ὢ πῶς ἀδακρυτὶ τὴν τούτων ἐνέγκω μνήμην! Ἴσαι μὲν ἐλπίδες ἦγον ἡμᾶς πράγματος ἐπιφθονωτάτου τῶν λόγων,[3] φθόνος δὲ ἀπῆν,[4] ζῆλος δὲ ἐσπουδάζετο. Ἀγὼν δὲ[5] ἀμφοτέροις, οὐχ ὅστις αὐτὸς τὸ πρωτεῖον ἔχοι, ἀλλ' ὅπως τῷ ἑτέρῳ τοῦτο παραχωρήσειεν· τὸ γὰρ ἀλλήλων εὐδόκιμον ἴδιον ἐποιούμεθα. Μία μὲν[6] ἀμφοτέροις ἐδόκει ψυχὴ δύο σώματα φέρουσα. Καὶ εἰ τὸ πάντα ἐν πᾶσι κεῖσθαι, μὴ πειστέον[7] τοῖς λέγουσιν· ἀλλ' ἡμῖν γε πειστέον, ὡς ἐν ἀλλήλοις καὶ παρ' ἀλλήλοις ἐκείμεθα. Ἓν δ' ἀμφοτέροις ἔργον ἡ ἀρετὴ καὶ τὸ ζῆν πρὸς τὰς μελλούσας ἐλπίδας, πρὶν ἐνθένδε ἀπελθεῖν μεθισταμένοις.[8] Πρὸς ὃ βλέποντες καὶ βίον καὶ πρᾶξιν ἅπασαν ἀπηυθύνομεν,[9] παρά τε τῆς ἐντολῆς[10] οὕτως ἀγόμενοι, καὶ ἀλλήλοις τὴν ἀρετὴν παραθήγοντες. Καὶ εἰ μὴ μέγα ἐμοὶ τοῦτο εἰπεῖν, κανόνες ὄντες ἀλλήλοις καὶ στάθμαι, οἷς τὸ εὐθές, καὶ μὴ διακρίνεται. Ἑταίρων τε γὰρ ὁμιλοῦμεν, οὐ τοῖς ἀσελγεστάτοις,

σχεῖν ἐμαυτὸν τοῦ διηγ. — 3. Συγχωρήσοι.) Διηγήσασθαι δηλ. ἐνταῦθα τοῦ λόγου γενομένῳ καὶ τὰ περὶ ἐμαυτοῦ κοινῶς. — 4. Εἰ δὲ μή.) Συγχωρήσοι. — 5. Λήψομαι.) Τὴν συγχώρησιν.

§ 28. 2. Ὅ φησι Πίνδαρος.) Ὀλυμπ. ς'. στίχ. 2.

Χρυσέας ὑποστήσαντες εὐτυχεῖ προθύρῳ θαλάμου Κίονας. . .

— 3. Ἐλπίδες . . . τῶν λόγων.) Ἤγουν Ἴσαι ἐλπίδες τῶν λόγων, οἵτινες εἰσὶν ἐπιφθονώτατον πρᾶγμα. — 4. Φθόνος δὲ ἀπῆν.) Ἔστι γὰρ φθόνος μὲν λύπη πρὸς τὰ τοῦ πλησίον ἀγαθά· ζῆλος δὲ μίμησις τῶν ἀγαθῶν καὶ θερμὴ πρὸς ταῦτα ζέσις τε καὶ διάθεσις. — 5. Ἀγὼν δέ.) Ἐννοεῖται Ἦν. — 6. Μία μέν.) Οὗτος δὲ ὁρισμός ἐστι φιλίας ἀληθοῦς τὸ μίαν ψυχὴν εἶναι ἐν δυσὶ σώμασιν οἰκοῦσαν. — 7. Καὶ εἰ . . . μὴ πειστέον.) Ἀναξαγόρας γὰρ ἔλεγεν ἀρχὰς τοῦ κόσμου τὰς ὁμοιομερείας· ὁ δ' Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα, πῦρ ὕδωρ, γῆν, ἀέρα, οἷς φιλία ἐστὶν ἡ συγκέκραται. Διογ. Λαέρτ. ἐν τῷ αὐτῶν βίῳ· ὅθεν καὶ τὸ τὰ πάντα ἐν πᾶσι κεῖσθαι, εἴρηται ἀμφοτέροις οὐ μετὰ τῆς αὐτῆς γνώμης· ὁ μὲν γὰρ Ἐμπεδοκλῆς περὶ τῶν τεσσάρων στοιχείων· ὅτι οὐ μόνον διωρισμένα εἰσὶ καὶ καθ' ἑαυτά, ἀλλὰ καὶ ἀλλήλοις μέμικται· ὁ δ' Ἀναξαγόρας, παλαιὸν δόγμα εὑρὼν ὅτι οὐδὲν ἐκ τοῦ μηδαμῇ γίνεται· γένεσιν μὲν ἀνῄρει, διάκρισιν δὲ ἀντ' αὐτῆς εἰσῆγεν· ἐλήρει γὰρ ἀλλήλοις μὲν μεμίχθαι ταῦτα, διακρίνεσθαι δὲ αὐξανόμενα, καὶ γὰρ ἐν τῇ γονῇ καὶ τρίχας εἶναι καὶ ὄνυχας, καὶ φλέβας καὶ ἀρτηρίας, καὶ νεῦρα καὶ ὀστᾶ, καὶ τυγχάνειν μὲν ἀφανῆ διὰ τὴν μικρομέρειαν, αὐξανόμενα δὲ κατὰ μικρὸν διακρίνεσθαι· οὐ μόνον δὲ τῶν σωμάτων, ἀλλὰ καὶ τῶν χρωμάτων ταῦτα κατηγόρει· καὶ γὰρ ἐνεῖναι τῷ λευκῷ τὸ μέλαν ἔλεγε, καὶ ἐπὶ τῶν ῥοπῶν ὁμοίως· ἐνεῖναι τῷ βαρεῖ τὸ κοῦφον· ὃ δὴ δόγμα διασύρει ἐνταῦθα ὁ Θεολόγος· Σχολ. Νικήτ. — 8. Ἐνθένδε . . . μεθισταμένοις.) Οἵτινες ἦσμεν μεμακρισμένοι τῶν ἐπιγείων καὶ πάσης κοσμικῆς περιπαθείας. — 9. Ἀπηυθύνομεν.) Ἀττικῶς· ἡ γὰρ Εὐ Ἀττικῶς μόνον τρέπει τὸ ε εἰς η. — 10. Τῆς ἐντολῆς.) Τῆς λεγούσης· Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν

ἀλλὰ τοῖς σωφρονεστάτοις, οὐ τοῖς μαχιμωτάτοις, ἀλλὰ τοῖς εἰρηνικωτάτοις, καὶ οἷς συνεῖναι λυσιτελέστατον· εἰδότες ὅτι κακίας ῥᾷον μεταλαβεῖν, ἢ ἀρετῆς μεταδοῦναι· Ἐπεὶ καὶ νόσου μετασχεῖν μᾶλλον, ἢ ὑγιείαν χαρίσασθαι. Μαθημάτων δὲ οὐ τοῖς ἡδίστοις πλέον ἢ τοῖς καλλίστοις ἐχαίρομεν· Ἐπειδὴ κἀντεῦθέν ἐστιν ἢ πρὸς ἀρετὴν τυποῦσθαι τοὺς νέους, ἢ πρὸς κακίαν· δύο μὲν ἐγνωρίζοντο ἡμῖν ὁδοί· ἡ μὲν πρώτη, καὶ τιμιωτέρα· ἡ δὲ δευτέρα, καὶ οὐ τοῦ ἴσου[11] λόγου· ἥ τε πρὸς τοὺς ἱεροὺς ἡμῶν οἴκους, καὶ τοὺς ἐκεῖσε διδασκάλους[12] φέρουσα, καὶ ἡ πρὸς τοὺς ἔξωθεν παιδευτάς. Τὰς ἄλλας δὲ τοῖς βουλομένοις παρήκαμεν, ἑορτὰς, θέατρα, πανηγύρεις, συμπόσια. Οὐδὲν γὰρ, οἶμαι τίμιον, ὃ μὴ πρὸς ἀρετὴν φέρει, μηδὲ ποιεῖ βελτίους τοὺς περὶ αὐτὸ σπουδάζοντας.

§ 29. Ἄλλοις μὲν οὖν ἄλλαι προσηγορίαι τινές εἰσιν, ἢ πατρόθεν, ἢ οἴκοθεν, ἐκ τῶν ἰδίων ἐπιτηδευμάτων ἢ πράξεων· ἡμῖν δὲ τὸ μέγα πρᾶγμα καὶ ὄνομα Χριστιανοὺς καὶ εἶναι καὶ ὀνομάζεσθαι. Ὢ πλέον ἐφρονοῦμεν, ἢ τῇ στροφῇ τῆς σφενδόνης[2] ὁ Γύγης· (εἴπερ μὴ μῦθος ἦν·[3]) ἐξ ἧς Λυδῶν ἐτυράννησεν· ἢ τῷ χρυσῷ ποτε Μίδας, δι' ὃν ἀπώλετο,[4] ἐπιτυχὼν τῆς εὐχῆς, καὶ πάντα χρυσὸν κτησάμενος· ἄλλος οὗτος Φρύγιος μῦθος.[5] Τὸν γὰρ Ἀβάριδος ὀϊστόν[6] τί ἂν λέγοιμι τοῦ Ὑπερβορέου; ἢ τὸν Ἀργεῖον Πήγασον;[7] οἷς οὐ τοσοῦτον ἦν τὸ δι' ἀέρος φέρεσθαι, ὅσον ἡμῖν

---

Ματθ. ϛ'. 33. — 11. Καὶ οὐ τοῦ ἴσου.) Οὐχ' ὁμοίως δηλαδὴ περὶ αὐτῆς ἐφροντίζομεν, καθάπερ περὶ τῆς πρώτης. — 12. Καὶ τοὺς ἐκεῖσε διδασκάλους.) Τοὺς ἱεροκήρυκας δηλ.

§ 29. 2. Τῇ στροφῇ τῆς σφενδόνης.) Οὗτος ὁ Γύγης καθὰ φησὶ Πλάτων ἐν Πολιτικ. Β'. χανούσης τῆς γῆς, ποιμὴν ὢν τοῦ βασιλέως Κανδαύλου Λυδίας, εἰσελθὼν εἰς τὸ χάσμα, καὶ εὑρὼν ἄνθρωπον πασακείμενον ἵππῳ μεγάλῳ, ἔχοντα ἐν τῷ δακτύλῳ δακτύλιον, ὃς δύναμιν εἶχε στρεφόμενος ἀθέατον ποιεῖν τὸν φέροντα, καὶ λαβὼν αὐτὸν ἐχρήσατο εἰς Κανδαύλου ἀπώλειαν· ἀθέατος γὰρ εἰσελθὼν, ἀπέκτεινεν αὐτόν· καὶ ἐγένετο ἀντ' αὐτοῦ βασιλεὺς Λυδίας. — 3. Εἴπερ μὴ μῦθος.) Μῦθον δὲ φασὶ μονονουχὶ πάντες· καὶ γὰρ καὶ Ἡρώδοτον, περὶ αὐτοῦ Γύγου ἄλλως ἱστορεῖ ἐν Κλειοῖ ζ.... ιδ'. φησὶ γάρ· Κανδαύλην ἐπιδεῖξαι αὐτῷ τὴν γυναῖκα γυμνήν· τὴν δὲ, πεῖσαι Γύγην ἀποκτενεῖν Κανδαύλην, καὶ παραλαβεῖν τὴν βασιλείαν αὐτοῦ. — 4. Δι' ὃν ἀπώλετο.) Φιλοξενήσας γὰρ ὁ Μίδας Βάκχον, καὶ ἐρωτηθεὶς ὑπὸ τοῦ Θεοῦ ὅ,τι θέλει αὐτῷ γενέσθαι, ἐπειδὴ ᾐτήσατο πᾶν ὅ,τι ψαύει γίγνεσθαι χρυσὸν, τοσοῦτο γὰρ ἐγένετο φιλοχρυσότατος· καὶ τῆς τροφῆς εἰς χρυσοῦν μεταβαλλούσης, λιμῷ διεφθάρη. — 5. Φρύγιος μῦθος.) Φρυγίας γὰρ βασιλεὺς ὁ Μίδας. — 6. Ἀβάριδος ὀϊστόν.) Ὁ γὰρ Σκύθης Ἄβαρις τὴν εἰς Ὑπερβορέους περιήγησιν Ἀπόλλωνος ᾄσας, ποιητὴς παρὰ Σκύθαις ἄριστος ὢν, πνεῦμά τε προφητείας παρ' αὐτοῦ ἔλαβεν, ἱερεὺς μέγας αὐτοῦ γενόμενος, καὶ ὀϊστὸν ἐφ' οὗ δι' ἀέρος ἐφέρετο. — 7. Τὸν Ἀργεῖον Πήγασον.) Περσεὺς γὰρ ὁ Διὸς καὶ Δανάης τῆς Ἀκρισίου πεμφθεὶς ὑπὸ Πολυδέκτου τῆς Γοργόνος Μεδούσης τὴν κεφαλὴν κομίσαι, παραγενόμενος, καὶ εὑρὼν κοιμωμένας τὰς Γοργόνας ἀπέτεμε τὴν κεφαλὴν Μεδούσης θνητῆς οὔσης μόνης· ἐκ τοῦ αἵματος δὲ ταύτης εὐθὺς ἐξέθορε Πήγασος πτηνὸς ἵππος· ἐπὶ τούτου Περσεὺς ἐπιβὰς, καὶ δι' ἀέρος φερόμενος, τὸ κῆτος ἔκτεινε, καὶ Ἀνδρομέδαν τὴν Κηφέως βασιλέως Αἰθιοπίας ἐρύσατο. Τούτου τοῦ Πηγάσου ἐπιβὰς καὶ Βελλεροφόντης, ἔκτεινε Χίμαιραν, θηρίον τρικέφαλον, οὐρὰν δράκοντος ἔχον, καὶ προτομὴν λέοντος. Ἀπολλόδ.

τὸ πρὸς Θεὸν αἵρεσθαι δι' ἀλλήλων καὶ σὺν ἀλλήλοις. Εἴπω τι συντομώτερον· βλαβεραὶ μὲν τοῖς ἄλλοις Ἀθῆναι τὰ εἰς ψυχήν, (οὐ γὰρ φαύλως τοῦτο ὑπολαμβάνεται·) τοῖς εὐσεβεστέροις·[8] καὶ γὰρ πλουτοῦσι τὸν κακὸν πλοῦτον τὰ εἴδωλα, μᾶλλον τῆς ἄλλης Ἑλλάδος, καὶ χαλεπὸν μὴ συναρπασθῆναι τοῖς τούτων ἐπαινέταις καὶ συνηγόροις. Ἡμῖν δὲ οὐδεμία παρὰ τούτων ζημία τὴν διάνοιαν πεπυκνωμένοις καὶ πεφραγμένοις. Τοὐναντίον μὲν οὖν, εἴ τι χρὴ καὶ παράδοξον εἰπεῖν, εἰς τὴν πίστιν ἐντεῦθεν ἐβεβαιώθημεν, καταμαθόντες αὐτῶν τὸ ἀπατηλὸν καὶ κίβδηλον· Ἐνταῦθα[9] δαιμόνων καταφρονήσαντες, οὗ θαυμάζονται δαίμονες. Καὶ εἴτις ἐστίν, ἢ πιστεύεται, ποταμὸς δι' ἅλμης ῥέων γλυκὺς,[10] ἢ ζῶον ἐν πυρὶ σκαῖρον,[11] ᾧ τὰ πάντα ἁλίσκεται, τοῦτο ἦμεν ἡμεῖς ἐν πᾶσι τοῖς ἥλιξι. Καὶ τὸ κάλλιστον ὅτι καὶ φατρία τις περὶ ἡμᾶς οὐκ ἀγενὴς ἦν, ὑπ' ἐκείνῳ καθηγεμόνι παιδευομένη καὶ ἀγομένη, καὶ τοῖς αὐτοῖς χαίρουσα, εἰ καὶ πεζοὶ παρὰ Λύδιον[12] ἅρμα ἐθέομεν τὸν ἐκείνου δρόμον καὶ τρόπον. Ἐξ ὧν ὑπῆρχεν ἡμῖν ἐπισήμοις μὲν εἶναι παρὰ τοῖς ἡμετέροις παιδευταῖς καὶ συμπράκτορσιν, ἐπισήμοις δὲ παρὰ τῇ Ἑλλάδι πάσῃ, καὶ ταύτης[13] μάλιστα τοῖς γνωριμωτάτοις· ἤδη δὲ καὶ μέχρι τῆς ὑπερορίας προήλθομεν, ὡς σαφὲς γέγονεν ἐκ πλειόνων τῶν ταῦτα διηγουμένων. Παρὰ τοσούτοις[14] μὲν γὰρ οἱ ἡμέτεροι παιδευταί, παρ' ὅσοις Ἀθῆναι· παρὰ τοσούτοις δὲ ἡμεῖς, παρ' ὅσοις οἱ παιδευταί, συνακουόμενοί τε ἀλλήλοις καὶ συλλαλούμενοι, καὶ ξυνωρὶς οὐκ ἀνώνυμος[15] καὶ ὄντες παρ' αὐτοῖς καὶ ἀκούοντες. Οὐδὲν τοιοῦτον αὐτοῖς οἱ Ὀρέσται καὶ Πυλάδαι·[16] οὐδὲν

---

7. Ἄργαιον δὲ λέγει τὸν Πήγασον, οἶμαι διὰ τὸν Περσέα· ὁ γὰρ Ἀκρίσιος πατὴρ Δανάης βασιλεὺς ἦν Ἄργους. — 8. Τοῖς εὐσεβεστέροις.) Ἐπεξήγησις τοῦ, τοῖς ἄλλοις. — 9. Ἐνταῦθα.) Ἐν Ἀθήναις δηλ. — 10. Δι' ἅλμης ῥέων γλυκύς.) Ἀλφειὸς κυνηγὸς, ἐρασθεὶς Ἀρεθούσης Νύμφης τῶν τῆς Ἀρτέμιδος, μετεμορφώθη εἰς ποταμὸν ἐν Ἀρκαδίᾳ ὑπὸ τῆς θεᾶς, καὶ Ἀρέθουσα εἰς πηγὴν ἐν Συρακούσαις· ὁ δὲ μὴ φέρων τὸν ἔρωτα ἀπὸ τῆς Ἀρκαδίας διὰ τοῦ πελάγους φέρεται εἰς Συρακούσας ἀμιγὴς, καὶ μίγνυσι τὰ ὕδατα αὐτοῦ τοῖς ἐκείνης· Λουκιαν. Θ. δ'. Ἀλφειοῦ καὶ Ποσειδ. — 11. Ζῶον... σκαῖρον.) Τὴν Σαλαμάνδραν λέγει· ἥτις ἐστὶ ζῶον σαύρας μέγεθος ἔχον· περὶ ἧς γνώμη παλαιὰ ὡς εἰς τὸ πῦρ δυομένη, τὴν φλόγα σβεννύει, μηδὲν παθοῦσα· Πλίνιος βιβλ. Ι, κεφ. ξς'. — 12. Πεζοὶ παρὰ Λύδιον.) Παροιμία ἐπὶ τῶν ταχὺ βαινόντων· πεζὸς παρὰ Λύδιον ἅρμα θεῖ· φασὶ γὰρ ὅτι Πέλοψ ὁ Λυδὸς ἐρίσας μετὰ τοῦ πενθεροῦ αὐτοῦ Οἰνομάου ἐν ἅρματι πολὺ ἐκεῖνον παρήλασεν· ὅθεν ἡ παροιμία. — 13. Καὶ ταύτης.) Τῆς Ἑλλάδος παρὰ τοῖς γνωρίμ. — 14. Παρὰ τοσούτοις.) Ἐπίσημοι ἦσαν. — 15. Οὐκ ἀνώνυμος.) Οὐκ ἄδοξος δηλ. περὶ ἑαυτοῦ δὲ λέγει καὶ τοῦ μεγ. Βασιλ. — 16. Οἱ Ὀρέσται καὶ Πυλάδαι.) Ὀρέστου καὶ Πυλάδου ἡ φιλία περιφανὴς ἦν ἐν πάσῃ τῇ Ἑλλάδι καὶ Σκυθίᾳ, ὡς ἐκ τῶν Λουκιανοῦ ἐν τῷ Τόξαρις ἢ περὶ φιλίας δῆλον· ὁ γὰρ Ὀρέστης φονεύσας τὴν μητέρα Κλυταιμνήστραν, διότι ἔκτεινε τὸν πατέρα αὐτοῦ Ἀγαμέμνονα, χρησμοῦ δοθέντος, εἰς τὴν Ταυρικὴν γενέσθαι εἰς κάθαρσιν, ἦλθε μετὰ Πυλάδου τοῦ φίλου· Καὶ Θόαντος τοῦ ἐκεῖ βασιλεύοντος τὸν Ὀρέστην κτεῖναι θέλοντος, καὶ ἀγνοοῦντος ὅς τις εἴη αὐτῶν, Πυλάδης ἑαυτὸν ἔλεγεν, ὁ δ' Ὀρέστης ἑαυτόν· Ἰφιγένεια δὲ ἡ τῆς Ἀρτέμιδος ἐκεῖ ἱέρεια γνωρίσασα τὸν ἀδελφὸν Ὀρέστην συνήργησε τὸν Θόαντα ἀποκτεῖναι, καὶ φυγεῖν

Ε.Ζ. της ΚΕ.Π. ΙΩΑΝΝΙΝΑ 2006

οἱ Μολιονίδαι,[17] τῆς Ὁμηρικῆς δέλτου τὸ θαῦμα, οὓς κοινωνία συμφορῶν ἐγνώρισε, καὶ τὸ καλῶς ἅρμα ἐλαύνειν, μεριζομένους ἐν ταὐτῷ ἡνίας καὶ μάστιγας.

§ 30. Ἀλλὰ γάρ[2] ἔλαθον ἐμαυτὸν εἰς τοὺς ἐμοὺς ὑπαχθεὶς ἐπαίνους, ὁ μὴ παρ' ἑτέρου ποτὲ τοῦτο δεξάμενος. Καὶ θαυμαστὸν οὐδέν, εἰ κἀνταῦθα τῆς ἐκείνου φιλίας τι παραπέλαυσα, ὥσπερ ζῶντος εἰς ἀρετήν, οὕτω μεταστάντος εἰς εὐφημίαν. Ἀλλ' ἐπὶ τὴν νύσσαν[3] ἐπαναγέσθω πάλιν ἡμῖν ὁ λόγος.

§ 31. Τίς μὲν ἦν οὕτω πολιὸς τὴν σύνεσιν, καὶ πρὸ τῆς πολιᾶς; Ἐπειδὴ τούτῳ καὶ Σολομών[2] τὸ γῆρας ὁρίζεται. Τίς δὲ οὕτως αἰδέσιμος ἢ παλαιοῖς ἢ νέοις, μὴ ὅτι τῶν κατὰ τὸν αὐτὸν ἡμῖν χρόνον, ἀλλὰ καὶ τῶν πλεῖστον προειληφότων; Τίς μὲν ἧττον ἐδεῖτο λόγων διὰ τὸν τρόπον; τίς δὲ μᾶλλον μετέσχε λόγου καὶ μετὰ τρόπου; Ποῖον μὲν εἶδος οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ ποῖον οὐ μεθ' ὑπερβολῆς ὡς μόνον; Οὕτω μὲν ἅπαντα διελθών, ὡς οὐδεὶς ἕν. Οὕτω δὲ εἰς ἄκρον ἕκαστον, ὡς τῶν ἄλλων οὐδέν. Σπουδῇ γὰρ εὐφυΐα συνέδραμεν, ἐξ ὧν ἐπιστῆμαι καὶ τέχναι τὸ κράτος ἔχουσιν. Ἥκιστα[3] μὲν τάχους φύσεως διὰ τόνον δεόμενος· ἥκιστα δὲ τόνου, διὰ τάχος· Οὕτω δ' ἀμφότερα συλλαβών, καὶ εἰς ἓν ἀγαγών, ὥστε ἄδηλον εἶναι ποτέρῳ τούτων ἐκεῖνος θαυμασιώτερος. Τίς μὲν ῥητορικὴν τοσοῦτον τὴν πυρὸς μένος[4] πνέουσαν; εἰ καὶ τὸ ἦθος αὐτῷ μὴ κατὰ ῥήτορας ἦν. Τίς δὲ γραμματικήν, ἣ γλῶσσαν ἐξελληνίζει, καὶ ἱστορίαν συνάγει, καὶ μέτροις[5]

---

μετὰ Ὀρέστου καὶ Πυλάδου. Εὐριπίδ. Ἰφιγ. ἐν Ταύροις. — 17. Μολιονίδαι.) Κτέατος καὶ Εὔρυτος, παῖδες μὲν ἦσαν Ποσειδῶνος καὶ Μολιόνης τῆς Μόλου, ἐπίκλησιν δὲ Ἄκτορος· οὗτοι παρηλλαγμένην φύσιν τῶν λοιπῶν ἔσχον ἀνθρώπων· διφυεῖς γὰρ ἦσαν, ἔχοντες ἑκάτερος δύο κεφαλάς, τέσσαρας δὲ χεῖρας, καὶ πόδας τοὺς ἴσους, ἓν δὲ σῶμα, διὰ τοῦτο τοὺς πολεμικοὺς καὶ γυμνικοὺς ἐνίκων ἀγῶνας· Σχολιαστ. Ὁμήρ. Ἰλ. Λ΄. 708· ἐδήλουν δὲ ταῦτα πάντα τὴν συμφυΐαν, καὶ σύμπνοιαν αὐτῶν· ἦσαν δὲ ἀδελφοὶ δίδυμοι, καὶ ὁμότεχνοι· καὶ διὰ τοῦτο τὰ τοιαῦτα περὶ αὐτῶν ἐμυθολόγησαν.

§ 30. 2. Ἀλλὰ γάρ) Ὁ Ἀλλὰ γὰρ ἐνταῦθα ἔμφασιν ἔχει πολλήν· δηλοῖ γὰρ ὡς ἔξω ἑαυτοῦ γενόμενος ἀνεπαισθήτως, ἑαυτοῦ γίνεται, καὶ ἐπανορθοῦν τὸ λεχθὲν βούλεται· ὅπερ οὐδ' ἡμεῖς ἄλλως ἐκφράσαι ἔχομεν ἢ δι' ἁπλοῦ τοῦ Ἀλλά· οἷον· Ἀλλ' ἔλαθον καὶ τλ. καὶ ἔστιν οἷον Ἐπανορθωτικός· καὶ τοῦτο δὲ κατὰ μίμησιν Δημοσθένους ἐν τῷ περὶ Στεφάν. ἐσχημάτισται· κεφ. ιδ΄. ξά. — 3. Ἀλλ' ἐπὶ τὴν νύσσαν.) Παρακελευστικὸς δοκεῖ ἐνταῦθα ὁ Ἀλλά.

§ 31. 2. Καὶ Σολομών.) Παροιμ. μή. . . γῆρας φησὶ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· καὶ Σοφ. Δ΄. 9. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. — 3. Ἥκιστα.) Δηλαδὴ· ἐπειδήπερ μέγας ἦν ὁ τόνος τῆς σπουδῆς, ἥκιστα ἐδεῖτο τάχους φύσεως, εἴτ' οὖν εὐφυΐας· ἐπειδὴ δὲ εὐφυέστατος ἦν, ἥκιστα ἐδεῖτο τόνου σπουδῆς. — 4. Πυρὸς μένος.) Ἐκ τοῦ Ὁμήρου εἴληπται ἡ φράσις περὶ Χιμαίρας τρισυνθέτου θηρίου· ἔμπροσθεν γὰρ ἦν λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ χίμαιρα· λέγοντος ἐν Ἰλ. Ζ΄. στίχ. 182.

Δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.

— 5. Μέτροις.) Τοῖς τῶν στίχων διὰ τὸ μακρὸν καὶ βραχὺ τῶν φωνηέντων μετροῦσι, καὶ τοὺς ἐξ αὐτῶν πόδας. —

ἐπιστατεῖ, καὶ νομοθετεῖ ποιήμασι; Τίς δὲ φιλοσοφίαν τὴν οὕτως ὑψηλήν τε καὶ ἄνω βαίνουσαν ὅση τε[6] πρακτικὴ καὶ θεωρητικὴ, ὅση τε περὶ τὰς λογικὰς ἀποδείξεις, καὶ ἀντιθέσεις ἔχει,[7] καὶ τὰ παλαίσματα, ἣν δὴ Διαλεκτικὴν ὀνομάζουσιν· ὡς ῥᾷον εἶναι τοὺς λαβυρίνθους[8] διεξελθεῖν, ἢ τὰς ἐκείνου τῶν λόγων ἄρκυς διαφυγεῖν, εἰ τούτου δεήσειεν;[9] Ἀστρονομίας δὲ καὶ Γεωμετρίας, καὶ ἀριθμῶν ἀναλογίας,[10] τοσοῦτον λαβὼν, ὅσον μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς, τὸ περιττὸν διέπτυσεν, ὡς ἄχρηστον τοῖς εὐσεβεῖν ἐθέλουσιν· Ὥστε μᾶλλον μὲν τὸ αἱρεθὲν τοῦ παρατεθέντος ἔξεῖναι θαυμάζειν, μᾶλλον δὲ τοῦ αἱρεθέντος τὸ παρατεθέν. Ἰατρικὴν μὲν γὰρ καὶ ἡ τοῦ σώματος ἀῤῥωστία καὶ νοσοκομία φιλοσοφίας καὶ φιλοπονίας οὖσαν καρπὸν, ἀναγκαίαν αὐτῷ πεποιήκασιν· ὅθεν ἀρξάμενος εἰς ἕξιν τῆς τέχνης ἀφίκετο· καὶ ταύτης, οὐχ ὅση περὶ τὸ φαινόμενον ἔχει καὶ κάτω κείμενον, ἀλλ' ὅσον[11] δογματικὸν καὶ φιλόσοφον. Ἀλλὰ τί ταῦτα, καίπερ τηλικαῦτα τυγχάνοντα, πρὸς τὴν ἐν τῷ ἤθει τοῦ ἀνδρὸς παίδευσιν; λῆρος τοῖς τοῦ ἀνδρὸς πεπειραμένοις ὁ Μίνως ἐκεῖνος, καὶ ὁ Ῥαδάμανθυς,[12] οὓς ἀσφοδελῶν λειμώνων,[13] καὶ Ἠλυσίων πεδίων ἠξίωσαν Ἕλληνες, ἐν φαντασίᾳ τοῦ καθ' ἡμᾶς Παραδείσου γενόμενοι, ἐκ τῶν Μωσαϊκῶν, οἶμαι, βιβλίων καὶ ἡμετέρων, εἰ καὶ περὶ τὴν κλῆσίν τι διηνέχθησαν, ἐν ἄλλοις ὀνόμασι τοῦτο παραδηλώσαντες.

§ 32. Εἶχε μὲν οὖν οὕτω ταῦτα, καὶ πλήρης παιδεύσεως ἡ φορτίς,[2] ὡς γοῦν ἐφικτὸν ἀνθρωπίνῃ φύσει. Τὸ γὰρ ἐπέκεινα Γαδείρων[3] οὐ περατόν. Ἔδει δὲ λοιπὸν ἐπανόδου καὶ βίου τελεωτέρου, καὶ τοῦ λαβέσθαι τῶν ἐλπιζομένων ἡμῖν καὶ συγκειμένων. Παρῆν

---

6. Ὅση τε.) Ἐννοεῖται Ἐστί. — 7. Ὅση τε..... ἔχει.) Ὅση δηλ. καταγίνεται ἐνασχολεῖται περὶ τὰς λογικάς. — 8. Τοὺς λαβυρίνθους.) Ἔστιν ἐν τῇ Κρίτῃ ὄρος, φασὶν, ἔνθα ἄντρον, οὗ ἡ εἴσοδος καὶ ἔξοδος δυσχερὴς, Λαβύρινθος καλούμενον· ἔνθα, Μίνως βασιλεὺς Κρήτης τὸν Μινώταυρον ἔῤῥιψεν. — 9. Εἰ τούτου δεήσειεν.) Ἐὰν ἐν ἀνάγκῃ τοιούτου τινὸς ᾖ. — 10. Ἀριθμῶν ἀναλογίας.) Ἀντὶ ἀριθμοὺς ἁπλῶς· εἴρηκε δὲ οὕτως ἵν' ὁμοιοτέλευτον γένηται τὸ σχῆμα τοῦ λόγου. — 11. Ἀλλ' ὅσον.) Αὐτῆς δηλ. ἦν δογματικὸν καὶ φιλοσόφοις ἀνδράσι πρέπον. — 12. Ὁ Μίνως.... καὶ ὁ Ῥαδάμανθυς.) Ὁ γὰρ Μίνως Κρήτης βασιλεὺς, μέγας νομοθέτης γενόμενος, δικάζειν ἐν ᾅδου τὰς ψυχὰς ἐτάχθη· ὁ δὲ Ῥαδάμανθυς, Λυκίας βασιλεὺς, τοῖς νησιώταις νομοθετῶν, μεταλλάξας τὸν βίον ἐν ᾅδου, μετὰ Μίνωος δικάζει· Ἀπολλόδ. Γ'. — 13. Ἀσφοδελῶν λειμώνων) Ἐκ τοῦ Ὁμήρου ἡ ἔκφρασις. Ὀδυσ. Λ'. στίχ. 538.

... κατ' ἀσφοδελὸν λειμῶνα.

καὶ Δ'. στίχ. 563.

Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης.

Ἀθάνατοι πέμψουσιν· Ὅθι ξανθὸς Ῥαδάμανθυς.

Ἔστι δὲ τὰ Ἠλύσια ἐνδιαίτημα τῶν ἡρώων.

§ 32. 2. Ἡ φορτίς.) Κατὰ μεταφορὰν τῶν πλοίων. — 3. Ἐπέκεινα Γαδείρων.) Γάδειρα τὸ δυτικὸν μέρος τῆς Ἰβηρίας, καὶ ἔνθα ἡ μεσόγειος ἐκχεῖται θάλασσα εἰς τὸν Ὠκεανόν· ὃν οἱ παλαιοὶ μὴ εἶναι πλευστὸν ἔλεγον· ὅθεν καὶ παροιμία, Τὸ ἐπέκεινα Γαδείρων οὐ περατόν·

ἡ τῆς ἐκδημίας ἡμέρα, καὶ ὅσα τῆς ἐκδημίας, ἐξιτήριοι λόγοι, προπόμπιοι, ἀνακλήσεις, οἰμωγαί, περιπλοκαί, δάκρυα. Οὐδὲν γὰρ οὕτως οὐδενὶ λυπηρὸν, ὡς τοῖς ἐκεῖσε συννόμοις, Ἀθηνῶν, καὶ ἀλλήλων τέμνεσθαι. Γίνεται δὴ τότε θέαμά τι ἐλεεινὸν, καὶ ἱστορίας ἄξιον. Περιστάντες ἡμᾶς ὁ τῶν ἑταίρων καὶ ἡλίκων χορός, ἔστι δὲ ὧν καὶ διδασκάλων, οὐδ' ἂν εἴτι γένοιτο[4] μεθήσειν ἔφασκον, ἀντιβολοῦντες, βιαζόμενοι, πείθοντες· Τί γὰρ οὐ λέγοντες;[5] τί δ' οὐ πράττοντες; ὡς τοὺς ἀλγοῦντας εἰκός.[6] Ἐνταῦθά τι κατηγορήσω μὲν ἐμαυτοῦ, κατηγορήσω δὲ τῆς θείας ἐκείνης καὶ ἀλήπτου ψυχῆς, εἰ καὶ τολμηρόν. Ὁ μὲν γὰρ τὰς αἰτίας εἰπὼν τῆς περὶ τὴν ἐπάνοδον φιλονεικίας, κρείττων ὤφθη τῶν κατεχόντων, καὶ βίᾳ μὲν, συνεχωρήθη δ' οὖν ὅμως τὴν ἐκδημίαν. Ἐγὼ δὲ ὑπελείφθην Ἀθήνησι, τὸ μέν τι μαλακισθεὶς, (εἰρήσεται γὰρ τἀληθές·) τὸ δέ τι[7] προδοθεὶς παρ' ἐκείνου πείθοντος, ἀφεῖναι μὴ ἀφιέντα, καὶ παραχωρῆσαι τοῖς ἕλκουσι, πρᾶγμα[8] πρὶν γενέσθαι μὴ πιστευόμενον. Γίνεται γὰρ ὥσπερ ἑνὸς σώματος εἰς δύο τομὴ, καὶ ἀμφοτέρων νέκρωσις, ἢ μόσχων συντρόφων, καὶ ὁμοζύγων διάζευξις, γοερὸν μυκωμένων ἐπ' ἀλλήλοις, καὶ οὐ φερόντων τὴν ἀλλοτρίωσιν. Οὐ μὴν μακρότερόν μοι τὸ τῆς ζημίας·[9] οὐ γὰρ ἠνειχόμην ἐπὶ πλεῖον ἐλεεινῶς ὁρᾶσθαι, καὶ πᾶσι λόγον ὑπέχειν τῆς διαστάσεως· ἀλλ' ἐπιμείναντά με ταῖς Ἀθήναις, χρόνον οὐχὶ συχνὸν ποιεῖ κατὰ τὸν Ὁμηρικὸν ἵππον[10] ὁ πόθος, καὶ τὰ δεσμὰ ῥήξας τῶν κατεχόντων, κροαίνω κατὰ πεδίων, καὶ πρὸς τὸν σύννομον ἐφερόμην.

§ 33. Ὡς δ' οὖν ἐπανήκαμεν, μικρὰ τῷ κόσμῳ καὶ τῇ σκηνῇ[2] χαρισάμενοι, καὶ ὅσον[3] τὸν τῶν πολλῶν πόθον ἀφοσιώσασθαι. Οὐ γὰρ αὐτοί γε εἴχομεν θεατρικῶς,[4] οὐδ' ἐπιδεικτικῶς, τάχιστα ἐγενόμεθα ἡμῶν αὐτῶν, καὶ τελοῦμεν εἰς ἄνδρας[5] ἐξ ἀγενείων ἀνδρικώτερον τῇ φιλοσοφίᾳ προσβαίνοντες, οὐ σὺν ἀλλήλοις μὲν ἔτι,

---

περὶ οὗ καὶ Πίνδρ. Ὀλυμ. Γ'. στίχ. 79.

... Τὸ πόρσω.

Δ' ἐστὶ σοφοῖς ἄβατον. Κἀσόφοις.

— 4. Οὐδ' ἂν εἴτι γένοιτο) Κατ' οὐδένα δηλονότι τρόπον ἔλεγον ὅτι οὐ μεθήσουσιν αὐτόν. — 5. Τί γὰρ οὐ λέγοντες.) Ὁ γὰρ παραπληροῖ, ἔμφασίν τινα σημαίνων. — 6. Εἰκός.) Ποιεῖν δηλ. — 7. Τὸ μέν τι.... τὸ δέ τι.) Παρέλκει ταῦτα· τὸ δ' ὅλον ἂν εἴη. Ἓν μὲν ἦν, ἐπειδὴ ἐμαλακίσθην κατά τι· ἕτερον δὲ, ἐπειδὴ προὐδόθην τρόπον τινὰ ὑπ' ἐκείνου τοῦ μεγ. Βασιλ. — 8. Πρᾶγμα.) Ὅπερ ἦν πρᾶγμα· τοῦτο δὲ σύνηθες κἀν τῇ καθ' ἡμᾶς διαλέκτῳ. — 9. Τὸ τῆς ζημίας.) Περιφραστικῶς ἀντὶ Ἡ ζημία. — 10. Κατὰ τὸν Ὁμηρικὸν ἵππον.) Ἰλ. Ζ'. στίχ. 506.

Ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ,
Δεσμὸν ἀποῤῥήξας θείει πεδίοιο κροαίνων.

§ 33. 2. Καὶ τῇ σκηνῇ.) Μεταφορικῶς ἐκ τῆς περὶ τὰ θέατρα σκηνῆς εἴληπται περὶ τοῦ πολιτικοῦ βίου ῥηθέν. — 3. Καὶ ὅσον.) Καὶ τοσοῦτον, ὅσον ἔδει ἀφοσιῶσ. — 4. Εἴχομεν θεατρικῶς.) Ἀντὶ Οὐκ ἦν ἡ ἡμετέρα διάθεσις τοῖς βιωτικοῖς προσηλωμένη πράγμασι. — 5. Καὶ τελοῦμεν εἰς ἄνδρας.) Εἰς ἄνδρας τελεῖν φράσις, σημαίνουσα τὸ Ἀνὴρ γίνεσθαι· ἐνταῦθα δὲ λέγει ὁ πατὴρ, ὅτι καὶ τοι

οὐ γὰρ ἀφῆκεν ὁ φθόνος, τῷ πόθῳ δὲ σὺν ἀλλήλοις.[6] Τὸν μὲν γὰρ ἡ Καισαρέων κατέχει πόλις, ὥς τινα δεύτερον οἰκιστήν τε καὶ πολιοῦχον· ἔπειτα ἐκδημίαι[7] τινές, ἐπειδή γε ἡμᾶς οὐκ εἶχε, τῶν ἀναγκαίων ὑπολαμβάνουσι· καὶ οὐκ ἀπὸ σκοποῦ[8] τῆς προκειμένης φιλοσοφίας. Ἐμὲ δὲ πατέρων εὐλάβεια, καὶ γηροκομία, καὶ συμφορῶν[9] ἐπανάστασις κατασχοῦσα, τοῦ ἀνδρὸς ἀπήγαγεν, οὐ καλῶς μὲν ἴσως, οὐδὲ δικαίως, ἀπήγαγε δ' οὖν. Σκοπῶ δὲ εἰ μὴ κἀντεῦθεν μοι πᾶσα ἡ περὶ τὸν βίον ἀνωμαλία καὶ δυσκολία συνέπεσε· καὶ τὸ πρὸς τὴν φιλοσοφίαν οὐκ εὔοδον, οὐδὲ τῆς ἐπιθυμίας καὶ τῆς ὑποθέσεως ἄξιον.

§ 34. Τὰ μὲν οὖν ἡμέτερα, ὅπη τῷ Θεῷ φίλον ἀγέσθω. Ἄγοιτο δὲ ταῖς ἐκείνου πρεσβείαις ἄμεινον· τὸν δὲ[2] ἡ πολύτροπος τοῦ Θεοῦ φιλανθρωπία, καὶ περὶ τὸ ἡμέτερον γένος[3] οἰκονομία, διὰ πολλῶν τῶν ἐν μέσῳ γνωρίσασα, καὶ ἀεὶ λαμπρότερον ἀποδείξασα, λαμπτῆρα τῆς Ἐκκλησίας προτίθησι περιφανῆ τε καὶ περιβόητον τοῖς ἱεροῖς τοῦ πρεσβυτερίου θρόνοις τέως ἐγκαταλέξασα, καὶ διὰ μιᾶς τῆς Καισαρέων πόλεως, τῇ οἰκουμένῃ πάσῃ πυρσεύουσα,[4] καί τινα τρόπον οὐ σχεδιάσασα τὸν βαθμόν, οὐδὲ ὁμοῦ τε πλύνασα καὶ σοφίσασα[5] κατὰ τοὺς πολλοὺς τῶν νῦν τῆς προστασίας[6] ἐφιεμένων, ἀλλὰ τάξει καὶ νόμῳ πνευματικῆς ἀναβάσεως τῆς τιμῆς ἀξιώσασα. Οὐκ ἐπαινῶ γὰρ ἐγὼ τὴν παρ' ἡμῖν ἀταξίαν καὶ ἀκοσμίαν· ἔστιν ὅτε, καὶ ἐφ' ὧν[7] προεδρευόντων ἐν βήμασιν· οὐ γὰρ ἁπάντων τολμήσω κατηγορεῖν, οὐδὲ δίκαιον. Ἐπαινῶ τὸν ναυτῶν νόμον, ὃς τὴν κώπην πρότερον ἐγχειρίσας τῷ νῦν κυβερνήτῃ, κἀκεῖθεν ἐπὶ τὴν πρῷραν ἀγαγών, καὶ πιστεύσας τὰ ἔμπροσθεν, οὕτως ἐπὶ τῶν οἰάκων καθίζει μετὰ τὴν πολλὴν τυφθεῖσαν[8]

---

ἀγένειοι καὶ νεανίαι, ὅμως ἀνδρικὸν εἶχον φρόνημα τῇ φιλοσοφίᾳ αὔξοντες. — 6. Οὐ . . . σὺν ἀλλήλοις.) Ὄντες. — 7. Ἐκδημίαι.) Εἰς Σελεύκειαν γὰρ πρὸς Θέκλης ἱερὸν ἀπεδήμησεν, ἢ εὐχῆς ἕνεκα, ἢ γοῦν ἥσυχον καὶ ἀτάραχον ἐπιθυμῶν βίον. — 8. Καὶ οὐκ ἀπὸ σκοποῦ.) Καὶ κατὰ τὴν προκειμένην δηλ. φιλοσοφίαν τὴν τῆς θεοσεβείας, καὶ ἀρετῆς. — 9. Καὶ συμφορῶν.) Ἀποθανούσης δηλ. Γοργονίας τῆς ἀδελφῆς, καὶ πρὸ ταύτης Καισαρίου τοῦ ἀδελφοῦ τοῦ μεγ. Γρηγορίου· πρὸς οὓς καὶ ἐγκώμια ἐποιήσατο· Τοῦ δὲ Καισαρίου τὴν περιουσίαν πολλῶν διαρπαζόντων, μόλις ὁ μέγ. Γρηγ. διεσώσατο τῷ πατρί, πολλοῖς διὰ τοῦτο κακοῖς περιπεσών.

§ 34. 2. Τὸν δέ.) Μέγαν Βασίλ. — 3. Τὸ ἡμέτερον γένος.) Τὸ ἀνθρώπινον δηλ. — 4. Πυρσεύουσα.) Κατὰ τοὺς πυρσούς, σημεῖα ὄντας ἐν τοῖς πολέμοις· ἢ γοῦν ἐκ τῶν ἐν Εὐαγγελίοις εἰρημένων εἴληπται. Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· Ματθ. ε΄. 14. 16. — 5. Πλύνασα καὶ σοφίσασα.) Οὐδὲ ὁμοῦ καθαρίσασα διὰ τοῦ βαπτίσματος καὶ σοφὸν ποιήσασα. — 6. Προστασίας.) Ἀξιώματος Ἐκκλησιαστικοῦ. — 7. Ἔστιν ὅτε, καὶ ἐφ' ὧν.) Ἐνίοτε δηλαδὴ ἐπισυμβαίνουσαν, καὶ ἐπ' ἐνίων, οἳ προεδρεύουσιν ἐν τοῖς ἱεροῖς βήμασι. — 8. Τυφθεῖσαν.) Ταῖς κώπαις· Μετὰ τὸ τύψαι δηλονότι πολλάκις κώπαις τὴν θάλασσαν, κωπηλάτης γενόμενος, καὶ μετὰ τὸ σκέψασθαι τοὺς ἀνέμους ἐν τῇ πρώρᾳ καθήμενος,

θάλασσαν, καὶ τὴν τῶν ἀνέμων διάσκεψιν. Ὡς δὲ κἂν τοῖς πολεμικοῖς ἔχει στρατιώτης, ταξίαρχος, στρατηγός, αὕτη ἡ τάξις ἀρίστη καὶ λυσιτελεστάτη τοῖς ἀρχομένοις. Τὸ δὲ ἡμέτερον πολλοῦ ἂν ἦν ἄξιον, εἰ οὕτως εἶχε· νῦν δὲ κινδυνεύει τὸ πάντων ἁγιώτατον τάγμα τῶν παρ' ἡμῖν,[9] πάντων εἶναι καταγελαστότατον· οὐ γὰρ ἐξ ἀρετῆς μᾶλλον ἢ κακουργίας, ἡ προεδρία· οὐδὲ τῶν ἀξιωτέρων, ἀλλὰ τῶν δυνατωτέρον οἱ θρόνοι.

§ 35. Σαμουὴλ ἐν προφήταις ὁ τὰ ἔμπροσθεν βλέπων, ἀλλὰ καὶ Σαοὺλ ὁ ἀπόβλητος·[2] Ῥοβοὰμ ἐν βασιλεῦσιν ὁ Σολομῶντος, ἀλλὰ καὶ Ἱεροβοὰμ[3] ὁ δοῦλος καὶ ἀποστάτης. Καὶ ἰατρὸς μὲν οὐδείς, οὐδὲ ζωγράφος, ὅστις οὐ φύσεις ἀῤῥωστημάτων ἐσκέψατο πρότερον, ἢ πολλὰ χρώματα συνεκέρασεν, ἢ ἐμόρφωσεν· ὁ δὲ πρόεδρος[4] εὑρίσκεται ῥᾳδίως, μὴ πονηθείς, καὶ πρόσφατος τὴν ἀξίαν ὁμοῦ τε σπαρείς, καὶ ἀναδοθείς, ὡς ὁ μῦθος ποιεῖ[5] τοὺς Γίγαντας. Πλάττομεν αὐθημερὸν τοὺς ἁγίους, καὶ σοφοὺς εἶναι κελεύομεν τοὺς οὐδὲν σοφισθέντας οὐδὲ τοῦ βαθμοῦ προεισενεγκόντας τι πλὴν τοῦ βούλεσθαι. Καὶ ὁ μὲν στέργει τὴν κάτω χώραν, καὶ ταπεινῶς ἕστηκεν ὁ τῆς ὑψηλῆς[6] ἄξιος, καὶ πολλὰ μὲν τοῖς θείοις λόγοις ἐμμελετήσας, πολλὰ δὲ τῇ σαρκὶ νομοθετήσας εἰς ὑποταγὴν πνεύματος. Ὁ δὲ,[7] σοβαρὸς προκαθέζεται, καὶ τὴν ὀφρὺν αἴρει κατὰ τῶν βελτιόνων, καὶ οὐκ ἐπιτρέμει τοῖς θρόνοις, οὐδὲ φρίσσει τὴν ὄψιν, τὸν ἐγκρατῆ κάτω βλέπων. Ἀλλ' ὁμοῦ τῷ κράτει καὶ σοφώτερον ἑαυτὸν ὑπολαμβάνει, κακῶς εἰδώς, καὶ τὸ φρονεῖν[8] ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένος.

§ 36. Ἀλλ' οὐχ ὁ πολὺς[2] οὕτω καὶ μέγας Βασίλειος· ἀλλ'

---

οὕτως καθῆται ἐπὶ τῶν οἰάκων κυβερνήτης γενόμενος. — 9. Τῶν παρ' ἡμῖν.) Τοῖς ἀνθρώποις ἢ τοῖς Χριστιανοῖς.

§ 35. 2. Καὶ Σαοὺλ ὁ ἀπόβλητος.) Βασιλ. Α'. ι' ὅθεν καὶ παροιμία· Ἡ καὶ Σαοὺλ ἐν προφήταις· Ἀποσταλεὶς γὰρ παρὰ τοῦ πατρὸς αὐτοῦ Κὶς εἰς εὕρεσιν τῶν ὄνων, ἐχρίσθη προφήτης ὑπὸ Σαμουὴλ τοῦ προφήτου· ἔπειτα δὲ καὶ βασιλεὺς Ἰσραήλ· οὗτος δὲ τὰ ἱμάτια ἀποδυσάμενος προεφήτευσεν ἔμπροσθεν Σαμουὴλ τοῦ προφήτου. — 3. Ἀλλὰ καὶ Ἱεροβοάμ.) Βασιλ. Γ'. ιά. ιβ'. ὁ γὰρ Ῥοβοάμ, υἱὸς ὢν Σολομῶντος, διεδέξατο τὴν βασιλείαν· ὁ δὲ Ἱεροβοάμ, δοῦλος Σολομῶντος, ἀπέστη ἀπ' αὐτοῦ, καὶ κατὰ θείαν βουλὴν ἐβασίλευεν ἐπὶ τῶν δέκα μερῶν τῶν δυωκαίδεκα τοῦ Ἰσραὴλ ἐν Σαμαρείᾳ. — 4. Ὁ δὲ πρόεδρος.) Τῆς Ἐκκλησίας δηλ. — 5. Ὁ μῦθος ποιεῖ.) Οὓς ἡ Γῆ ἀνέτειλε κατὰ τῶν Θεῶν ὑπὲρ τῶν Τιτάνων· ὡς δὲ ὁμοῦ ἐσπάρησαν καὶ ἀνεδόθησαν Γίγαντες, ἀγνοεῖται μοι, ὅτι μὴ τοὺς ὑπὸ Κάδμου σπαρτοὺς καλουμένους ἐννοεῖ· τούτου γὰρ σπείροντος δράκοντος ὀδόντας, ἀνεδόθησαν ἄνδρες ἔνοπλοι· Ἀπολλόδ. Γ'. ὃ δὴ καὶ τοῖς ἄλλοις δοκεῖ, οἷς ὑπομνηματισταῖς γενέσθαι ὑπῆρξε τοῦ πατρὸς τουτουΐ· Νικήτ. — 6. Ὁ τῆς ὑψηλῆς.) Ἐπεξήγησις τοῦ, ὁ μέν, ἤτοι· ὁ μὲν τῆς ὑψηλῆς χώρας ἄξιος στέργει. — 7. Ὁ δὲ.) Ἀπαίδευτος καὶ ἀμαθὴς καὶ τῆς κάτω χώρας ἄξιος, ὁρῶν τὸν ἐγκρατῆ καὶ πεπαιδευμένον κάτω, σοβαρὸς προκαθέζ. κ. τ. λ. — 8. Καὶ τὸ φρονεῖν.) Καὶ γὰρ τὸ παρὰ τὴν ἀξίαν εὖ πράττειν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται, ὡς Δημοσθένει δοκεῖ.

§ 36. 2. Ἀλλ' οὐχ ὁ πολύς.) Οὐκ ἦν

ὥσπερ τῶν ἄλλων ἁπάντων, οὕτω καὶ τοῦ περὶ ταῦτα κόσμου τοῖς πολλοῖς τύπος καθίσταται. Τὰς γὰρ ἱερὰς πρότερον ὑπαναγινώσκων[3] τῷ λαῷ βίβλους, ὁ τούτων ἐξηγητής, καὶ ταύτην οὐκ ἀπαξιώσας τὴν τάξιν τοῦ βήματος, οὕτως ἐν καθέδρᾳ πρεσβυτέρων, οὕτως ἐν ἐπισκόπων αἰνεῖ τὸν Κύριον·[4] οὐ κλέψας τὴν ἐξουσίαν, οὐδὲ ἁρπάσας, οὐδὲ διώξας τὴν τιμὴν, ἀλλ᾽ ὑπὸ τῆς τιμῆς διωχθείς, οὐδ᾽ ἀνθρωπίνην χάριν, ἀλλ᾽ ἐκ Θεοῦ καὶ θείαν δεξάμενος.

§ 37. Ὁ μὲν οὖν τῆς προεδρίας λόγος ἀναμεινάτω· τῷ δὲ τῆς ὑφεδρίας[2] μικρόν τι προσδιατρίψωμεν· Οἷον γάρ με καὶ τοῦτο μικροῦ[3] παρέδραμεν, ἐν μέσῳ τῶν εἰρημένων κείμενον. Ἐγένετό τις πρὸς τὸν ἄνδρα διαφορὰ τῷ πρὸ τούτου καθηγεμόνι[4] τῆς Ἐκκλησίας, τὸ μὲν ὅθεν καὶ ὅπως, σιωπᾶν ἄμεινον· πλὴν ἐγένετο, ἀνδρὶ τἄλλα μὲν οὐκ ἀγενεῖ καὶ θαυμαστῷ τὴν εὐσέβειαν, ὡς ἔδοξεν ὁ τότε διωγμὸς, καὶ ἡ πρὸς αὐτὸν ἔνστασις, ὅμως δέ τι παθόντι πρὸς ἐκεῖνον ἀνθρώπινον. Ἅπτεται γὰρ οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος, ὡς μόνου ἂν εἶναι[5] τοῦ Θεοῦ τὸ παντελῶς ἄπταιστον καὶ ἀνάλωτον πάθεσι. Κινεῖται οὖν ἐπ᾽ αὐτὸν[6] τῆς Ἐκκλησίας, ὅσον ἔκκριτον καὶ σοφώτερον, εἴπερ σοφώτεροι τῶν πολλῶν, οἱ κόσμου χωρήσαντες ἑαυτούς, καὶ τῷ Θεῷ τὸν βίον καθιερώσαντες. Λέγω δὲ τοὺς καθ᾽ ἡμᾶς Ναζοραίους,[7] καὶ περὶ τὰ τοιαῦτα μάλιστα ἐσπουδακότας, οἳ δεινὸν ποιησάμενοι τὸ σφῶν κράτος[8] παριδεῖν περιϋβρισμένον καὶ ἀπωσμένον, πρᾶγμα τολμῶσι ἐπικινδυνότατον· Ἀπόστασιν[9] ἐννοοῦσι καὶ ῥῆξιν τοῦ μεγάλου καὶ ἀστασιάστου τῆς Ἐκκλησίας σώματος, οὐκ ὀλίγην καὶ τοῦ λαοῦ μοῖραν παρατεμόμενοι, ὅση τε τῶν κάτω,[10] καὶ ὅση τῶν ἐπ᾽ ἀξίαις. Ῥᾷστον δὲ τοῦτο ἦν ἐκ τριῶν[11] τῶν ἰσχυροτάτων·

---

δηλ. ὁ πολὺς κ. τ. λ. — 3. Ὑπαναγινώσκων.) Ἀναγνώστης δηλ. πρότερον χειροτονηθείς. — 4. Αἰνεῖ τὸν Κύριον.) Ψαλ. ρς΄. Ἐν καθέδρᾳ πρεσβυτέρων ᾔνεσε τὸν Κύριον.

§ 37. 2. Ὑφεδρίας.) Προεδρίαν καλεῖ τὴν Ἐπισκοπὴν, Ὑφεδρίαν δὲ, τὸν τοῦ πρεσβυτέρου βαθμόν. — 3. Μικροῦ.) Ἐννοεῖται, Δέον, κατὰ τὸ τῶν ἀπροσώπων μετοχῶν ἀπόλυτον. — 4. Τῷ πρὸ τούτου καθηγεμόνι.) Εὐσέβιος δέ ἐστιν, ὃν ἐννοεῖ· οὗτος γὰρ ἦν ἐπίσκοπος Καισαρείας πρὸ τοῦ μεγ. Βασιλείου, ὃς κατὰ Οὐάλεντος Ἀρειανοδόξου βασιλέως πιστῶς καὶ ἰσχυρῶς ἀντέστη· πρὸς ὃν καὶ ἐπιστολὰς δύο ὁ Γρηγόριος ἔπεμψεν. — 5. Ὡς μόνου ἂν εἶναι.) Τὸ Ὡς ἀντὶ τοῦ Ὥστε, καὶ τὸ ἀπαρέμφατον ἀντὶ ὁριστικοῦ, καὶ ὁ Ἂν ἤτοι παρέλκει, ἢ βεβαιωτικός ἐστι· οἷον, πάσχουσί τι ἀνθρώπινον καὶ αὐτοὶ οἱ ἄριστοι· ὥστε μόνου ἐστὶ πάντως τοῦ ἀσυγκρίτως τῶν ἀρίστων ὑπερκειμένου Θεοῦ τὸ πάντη ἀνάλωτον, οἷς οἱ ἄριστοι ἁλίσκονται πάθεσι. — 6. Ἐπ᾽ αὐτόν.) Τὸν μέγαν Βασίλειον. — 7. Τοὺς καθ᾽ ἡμᾶς Ναζοραίους.) Τοὺς μοναχοὺς ἐννοεῖ ἐνταῦθα· ὡς ἀφοσιωμένους καὶ ἀνατεθειμένους τῷ Θεῷ. — 8. Τὸ σφῶν κράτος.) Τὸ ἴδιον αὐτῶν τάγμα· καὶ γὰρ ὁ μέγ. Βασιλ. ἐκ τοῦ μοναχικοῦ ἦν τάγματος. — 9. Ἀπόστασιν.) Ἐπεξήγησις τοῦ ἐπικινδυνοτάτου πράγματος. — 10. Τῶν κάτω.) Τῶν ἰδιωτῶν. — 11. Ἐκ τριῶν.) Τὸ αἰδέσιμον τοῦ ἀνδρὸς, μεγ. Βασιλ. β΄. τὸ ὕποπτον τοῦ λυποῦντος Εὐσεβείου μετὰ ταραχῆς εἰς τὸν θρόνον καταστάντος, καὶ οὐ κατὰ κανόνας, ἀλλὰ τυραννικῶς·

Ὅ, τε γὰρ ἀνὴρ αἰδέσιμος, ὡς οὐκ οἶδ᾽ εἴ τις ἄλλος τῶν καθ᾽ ἡμᾶς φιλοσόφων, καὶ ἱκανὸς θάρσος παρασχεῖν, εἴπερ ἐβούλετο τῷ συστήματι, τόν τε λυποῦντα δι᾽ ὑποψίας εἶχεν ἡ πόλις ἐκ τῆς περὶ τὴν κατάστασιν ταραχῆς, ὡς οὐκ ἔννομον οὐδὲ κανονικῶς μᾶλλον ἢ τυρανικῶς τὴν προστασίαν δεξάμενον· καὶ παρῆσαν τῶν δυτικῶν ἀρχιερέων[12] τινές, μεθέλκοντες πρὸς ἑαυτοὺς τὰς Ἐκκλησίας, ὅσον ὀρθόδοξον.[13]

§ 38. Τί οὖν[2] ὁ γεννάδας ἐκεῖνος καὶ τοῦ εἰρηνικοῦ θρόνου μαθητής; οὔτε γὰρ ἀντιτείνειν εἶχε πρὸς τοὺς ὑβριστάς, ἢ τοὺς σπουδαστάς, οὐδὲ πρὸς αὐτοῦ[3] τὸ μάχεσθαι ἢ διασπᾶν τὸ σῶμα τῆς Ἐκκλησίας, καὶ ἄλλως πολεμουμένης,[4] καὶ σφαλερῶς διακειμένης ὑπὸ τῆς τότε τῶν αἱρετικῶν δυναστείας·[5] καὶ ἅμα συμβούλοις ἡμῖν περὶ τούτου χρησάμενος, καὶ παραινέταις γνησίοις. Φυγάς[6] ἐνθένδε σὺν ἡμῖν πρὸς τὸν Πόντον μεταχωρεῖ, καὶ τοῖς ἐκεῖσε φροντιστηρίοις[7] ἐπιστατεῖ. Αὐτὸς δὲ[8] καθιστᾷ τι μνήμης ἄξιον, καὶ τὴν ἔρημον ἀσπάζεται μετὰ Ἡλιοῦ καὶ Ἰωάννου[9] τῶν πάνυ φιλοσόφων· τοῦτο αὐτῷ λυσιτελεῖν μᾶλλον ἡγούμενος, ἤ τι διανοηθῆναι περὶ τῶν παρόντων τῆς φιλοσοφίας ἀνάξιον, καὶ διαφθείρειν ἐν ζάλῃ τὴν ἐν γαλήνῃ τῶν λογισμῶν κυβέρνησιν.

§ 39. Καίπερ δὲ οὕτω φιλοσόφου καὶ θαυμασίας οὔσης τῆς ἀναχωρήσεως, κρείττω καὶ θαυμασιωτέραν εὑρίσομεν τὴν ἐπάνοδον· ἔσχε γὰρ οὕτως. Ἐν τούτοις ὄντων ἡμῶν, ἐξαίφνης ἐφίσταται νέφος χαλάζης πλῆρες, καὶ τετριγὸς ὀλέθριον[2] πᾶσαν ἐκτρίψαν Ἐκκλησίαν, καθ᾽ ἧς ἐῤῥάγη, καὶ ὅσην[3] ἀπέβαλε βασιλεὺς ὁ φιλοχρυσότατος, καὶ μισοχριστότατος. Καὶ δύο τὰ μέγιστα ταῦτα νοσῶν ἀπληστείαν καὶ βλασφημίαν, ὁ μετὰ τὸν διώκτην[4] διώκτης, καὶ

---

γ΄. Οἱ δυτικοὶ ἀρχιερεῖς, οἱ ἐκ Ῥώμης ἐλθόντες ἐν Καισαρείᾳ. — 12. Τῶν δυτικῶν ἀρχιερέων.) Δύο ἐπίσκοποι ἐκ Ῥώμης εἰς τὴν Καισαρέων Ἐκκλησίαν ἐπέμφθησαν Λουκιοφέρτης καὶ Εὐσέβειος, ἵνα τὸ ἐπ᾽ αὐτοῖς παύσωνται τὰς ταραχὰς τῆς ἐν Καισαρείᾳ Ἐκκλησίας. — 13. Ὅσον ὀρθόδοξον.) Ἐπεξήγησις· οἷον· τὰς τῶν ὀρθοδόξων· ὅσοι δηλαδὴ ὀρθόδοξοι κατελείφθησαν, τούτους πρὸς ἑαυτοὺς μεθεῖλκον οἱ δυτικοὶ ἀρχιερεῖς.

§ 38. 2. Τί οὖν;) Ποιεῖ δηλ. — 3. Οὐδὲ πρὸς αὐτοῦ.) Οὐδὲ ἴδιον ἦν αὐτοῦ. — 4. Καὶ ἄλλως πολεμουμένης.) Καὶ μάλιστα πολεμ. ὑπὸ τῶν αἱρετικῶν. — 5. Ὑπὸ τῆς τότε... δυναστείας.) Οὐάλης γὰρ ὁ βασιλεύων Κωνσταντινουπόλεως κατ᾽ ἐκείνους τοὺς χρόνους, δεξάμενος τὸ βάπτισμα παρ᾽ Εὐδοξίου Ἐπισκόπου Ἀρειανῶν ἐν Κωνσταντινουπόλει, κατεπολέμει τὴν ὀρθόδοξον Ἐκκλησίαν. — 6. Φυγάς.) Ἐξήγησις τοῦ Τί οὖν; δηλαδή, φυγὰς μεταχωρεῖ. — 7. Φροντιστηρίοις.) Τὰ μοναστήρια λέγει. — 8. Αὐτὸς δέ.) Τὸ παρ᾽ ἡμῖν, ὁ ἴδιος δέ. — 9. Μετὰ Ἡλιοῦ καὶ Ἰωάννου.) Ὁ μὲν γὰρ Ἠλίας ὁ προφήτης φεύγων τὴν Ἰεζάβελ ἐν ἐρήμῳ διῆγε τρεφόμενος ὑπὸ κόρακος· Βασιλ. Γ΄. ιζ΄ 1... 7. ὁ δὲ Ἰωάννης ὁ βαπτιστὴς ἦν ἐν ἐρήμῳ, ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον, διδάσκων τὸν ἐκεῖ ἐρχόμενον λαόν, καὶ βαπτίζων αὐτούς· Ματθ. γ΄. 4. — 8. Λουκ. γ΄. 2. Ἰωάν. ά. 23.

§ 39. 2. Καὶ τετριγὸς ὀλέθριον.) τὸν Οὐάλεντα λέγει τὴν Ἐκκλησίαν διώκοντα. — 3. Καὶ ὅσην.) Καὶ τὴν ὀρθόδοξον δηλ. ἣν ἀπέβαλεν ὁ Οὐάλης Ἀρειανίσας. — 4. Ὁ μετὰ τὸν διώκτην.) Τὸν Ἰουλιανὸν λέγει· τοῦτον γὰρ διεδέξατο Οὐά-

Ε.Π. Δ. ΤΗΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μετὰ τὸν ἀποστάτην οὐκ ἀποστάτης μὲν, οὐδὲν δὲ ἀμείνων Χριστιανοῖς, μᾶλλον δὲ Χριστιανῶν τῷ εὐσεβεστάτῳ μέρει, καὶ καθαρωτάτῳ καὶ προσκυνητῇ τῆς Τριάδος, ἣν δὴ[5] μόνην εὐσέβειαν ἐγὼ καλῶ καὶ δόξαν σωτήριον. Οὐ γὰρ Θεότητα ταλαντεύομεν, οὐδὲ τὴν μίαν καὶ ἀπρόσιτον φύσιν ἀποξενοῦμεν[6] ἑαυτῆς ἐκ φύλοις ἀλλοτριότησιν, οὐδὲ κακῷ τὸ κακὸν ἰώμεθα, τὴν ἄθεον Σαβελλίου συναίρεσιν[7] ἀσεβεστέρᾳ διαιρέσει καὶ κατατομῇ λύοντες. Ἣν Ἄρειος νοσήσας ὁ τῆς μανίας ἐπώνυμος[8], τὸ πολὺ τῆς Ἐκκλησίας διέσεισε καὶ διέφθειρεν· οὔτε τὸν πατέρα τιμήσας, καὶ ἀτιμάσας τὰ ἐξ αὐτοῦ[9] διὰ τῶν ἀνίσων βαθμῶν τῆς Θεότητος. Ἀλλὰ μίαν μὲν δόξαν Πατρὸς γινώσκομεν τὴν ὁμοτιμίαν τοῦ μονογενοῦς, μίαν δὲ Υἱοῦ τὴν τοῦ Πνεύματος· καὶ ὅ,τι ἂν τῶν τριῶν κάτω θῶμεν, τὸ πᾶν καθαιρεῖν νομίζομεν, τρία μὲν ταῖς ἰδιότησιν,[10] ἓν δὲ Θεότητι σέβοντες καὶ γινώσκοντες. Ὧν οὐδὲν ἐννοῶν ἐκεῖνος, οὐδὲ ἄνω βλέπειν δυνάμενος, ἀλλ' ὑπὸ τῶν ἀγόντων[11] αὐτὸν ταπεινούμενος, συνταπεινοῦν ἐτόλμησεν ἑαυτῷ καὶ φύσιν Θεότητος, καὶ κτίσμα γίνεται πονηρὸν εἰς δουλείαν κατάγων τὴν δεσποτείαν,[12] καὶ μετὰ τῆς κτίσεως τιθεὶς τὴν ἄκτιστον φύσιν, καὶ ὑπέρχρονον.

§ 40. Ὁ μὲν οὖν[2] οὕτω φρονῶν, καὶ μετὰ τοιαύτης ἡμῖν ἐπιστρατεύει τῆς εὐσεβείας. Οὐ γὰρ ἄλλο τι ἢ βαρβαρικὴν καταδρομὴν τοῦτο ὑποληπτέον, καθαίρουσαν οὐ τείχη καὶ πόλεις καὶ οἰκίας, οὐδέ τι τῶν μικρῶν καὶ χειροποιήτων, καὶ αὖθις ἀνορθουμένων, ἀλλὰ τὰς ψυχὰς αὐτὰς κατασύρουσαν. Συνεισβάλλει δὲ αὐτῷ

---

λης ὁ Ἀρειανίσας· καὶ ὁ μὲν Ἰουλιανὸς ἦν φανερὸς ἀποστάτης, ὁ δὲ Οὐάλης οὐκ ἀποστάτης μὲν, ὡς Ἀρειανόφρων, ἀλλ' οὐδὲν ἀμείνων φαίνεται Χριστιανοῖς ὀρθοδόξοις· ὁ γὰρ Ἄρειος μετὰ τὸν θάνατον Ἀχίλλα, ὀργισθεὶς διὰ τὸ μὴ αὐτὸν ἐκλεχθῆναι διάδοχον, τὴν αἵρεσιν αὐτοῦ κατὰ τῶν Χριστιανῶν ἐποιήσατο· περὶ τῆς Θεότητος τοῦ λόγου· ἔλεγε γὰρ, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἦν κτίσμα, ἐκ τοῦ μὴ ὄντος δημιουργηθὲν, ὑποκείμενον ἀρετῇ καὶ κακίᾳ, καὶ ὅτι οὐκ ἦν ἀληθῶς Θεὸς, ἀλλὰ κατὰ μετοχὴν, καθάπερ τὰ λοιπὰ κτίσματα, οἷς τὸ ὄνομα τῆς Θεότητος δίδοασιν· ὡμολόγει δὲ, ὅτι πρὸ τῶν αἰώνων ὑπῆρχεν, ἀλλ' οὐκ ἦν συναΐδιος τῷ Θεῷ. — 5. Ἣν δή.) Προσκύνησιν δηλ. τῆς Τριάδος· ἔστι δὲ τὸ ἀναφορικὸν Ἀττικῶς πρὸς τὸ ἑπόμενον κατὰ γένος σύμφωνον ἀντὶ τοῦ, ὃ δή, πρὸς τὸ μέρος ἀναφερομένου. — 6. Ἀποξενοῦμεν.) Καθάπερ Ἄρειος ἐποιήσατο. — 7. Τὴν ἄθεον Σαβελλίου συναίρεσιν.) Σαβέλλιος τριώνυμον ἔλεγε μίαν ὑπόστασιν ἐν Θεότητι, τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα δογματίσας, συναιρῶν τὰς τρεῖς ὑποστάσεις, ὅπερ ἐστὶ συγχέων, ἓν πρόσωπον λέγων τὰ τρία. — 8. Ὁ τῆς μανίας ἐπώνυμος.) Ἄρειος γὰρ ἀπὸ τοῦ Ἄρης, ὥσπερ καὶ Ἀρειμανής· εἴρηται δὲ τοῦτο δι' Ἄρην ὡς πολεμικώτατον καὶ μανικώτατον. — 9. Τὰ ἐξ αὐτοῦ.) Τὸν Υἱὸν γεννώμενον ἀχρόνως ἐκ τοῦ Πατρὸς, καὶ τὸ Πνεῦμα ἐκπορευόμενον. — 10. Ταῖς ἰδιότησιν.) Ὁ μὲν γὰρ Πατὴρ γεννᾷ καὶ ἐκπορεύει· ὁ δὲ Υἱὸς γεννᾶται, καὶ τὸ Πνεῦμα ἐκπορεύεται· κατὰ μὲν οὖν τὰς ἰδιότητας ταύτας, τρία εἶναι λέγομεν, κατὰ δὲ τὴν Θεότητα ἕν. — 11. Ὑπὸ τῶν ἀγόντων.) Παθῶν δηλ. ἴσως δὲ ἐννοεῖ δαιμόνων, ὃ καὶ μᾶλλον. — 12. Τὴν δεσποτείαν.) Τὸν Υἱὸν δηλ. τοῦ Θεοῦ καὶ Θεὸν κτίσμα λέγων, κἀντεῦθεν καὶ δοῦλον, δεσπότην ὄντα τῆς κτίσεως.

§ 40. Ὁ μὲν οὖν.) Βασιλεὺς Οὐάλης.

καὶ στρατὸς ἄξιος,[3] οἱ κακοὶ τῶν Ἐκκλησιῶν ἡγεμόνες, οἱ πικροὶ τετράρχαι[4] τῆς ὑπ' αὐτῶν οἰκουμένης. Οἱ τὸ μὲν[5] ἔχοντες ἤδη τῶν Ἐκκλησιῶν, τῷ δὲ προσβάλλοντες, τὸ δὲ ἐλπίζοντες ἐκ τῆς τοῦ βασιλέως ῥοπῆς καὶ χειρός· τῆς μὲν[6] ἐπαγομένης, τῆς δὲ[7] ἀπειλουμένης, ἧκον καὶ τὴν ἡμετέραν καταστρεψόμενοι, οὐδενὶ τοσοῦτο θαῤῥεῖν ἔχοντες τῶν ἁπάντων,[8] ὅσον τῇ τῶν προειρημένων[9] μικροψυχίᾳ, καὶ ἀπειρίᾳ τοῦ τηνικαῦτα ἡμῶν προεδρεύοντος,[10] καὶ τοῖς ἐν ἡμῖν ἀῤῥωστήμασιν.[11]

§ 41. Ὁ μὲν οὖν ἀγὼν πολύς·[2] ἡ δὲ προθυμία τῶν πλείστων οὐκ ἀγενής, ἡ δὲ παράταξις ἀσθενής, οὐκ ἔχουσα τὸν προαγωνιστήν,[3] καὶ τεχνίτην ὑπέρμαχον, ἐν δυνάμει λόγου καὶ πνεύματος. Τί οὖν ἡ γενναία καὶ μεγαλόφρων ἐκείνη ψυχὴ, καὶ ὄντως φιλόχριστος; οὐδὲ πολλῶν ἐδεήθη λόγων, πρὸς τὸ παρεῖναι καὶ συμμαχεῖν, ἀλλ' ὁμοῦ τε εἶδεν ἡμᾶς πρεσβεύοντας, (κοινὸς γὰρ ἦν ὁ ἀγὼν ἀμφοτέροις,[4] ὡς τοῦ λόγου προβεβλημένοις·) καὶ τῆς πρεσβείας ἡττήθη.[5] Καὶ διελὼν ἄριστα παρ' ἑαυτῷ καὶ φιλοσοφώτατα τοῖς τοῦ πνεύματος λογισμοῖς, ἄλλον μὲν εἶναι μικροψυχίας καιρὸν, εἴ τι καὶ τοιοῦτον ἔδει παθεῖν, τὸν τῆς ἀδείας·[6] ἄλλον δὲ μακροθυμίας, τὸν τῆς ἀνάγκης, εὐθὺς τοῦ Πόντου μεθ' ἡμῶν ἀπανίσταται, καὶ ζηλοτυπεῖ[7] τὴν ἀλήθειαν κινδυνεύουσαν, καὶ γίνεται σύμμαχος ἐθελοντὴς, καὶ τῇ μητρὶ φέρων ἑαυτὸν Ἐκκλησίᾳ δίδωσι.[8]

§ 42. Ἆρ' οὖν προεθυμήθη[2] μὲν οὕτως, ἠγώνισται δὲ τῆς

— 3. Καὶ στρατὸς ἄξιος.) Τοὺς ὁμοδόξους αὐτῷ ἐπισκόπους λέγει· εἰς οὓς καὶ ἡ Ἐκκλησία διεμερίζετο. — 4. Τετράρχαι.) Εὐδόξιος μὲν ὁ Κωνσταντινουπόλεως διώκτης μέγας τῶν ὀρθοδόξων διὰ τὸ τοῦ Ἀρείου δόγμα. Τετράρχας δὲ λέγει τοὺς Ἐπισκόπους ἀπὸ τῶν τεσσάρων υἱῶν Ἡρώδου λαβών· οὗτοι γὰρ ὠνομάσθησαν ὑπὸ Αὐγούστου Τετράρχαι. — 5. Οἱ τὸ μέν.) Μέρος τῶν Ἐκκλησιῶν. — 6. Τῆς μέν.) Ῥοπῆς. — 7. Τῆς δέ.) Χειρός. — 8. Οὐδενὶ . . . τῶν ἁπάντων.) Τῶν ἁπάντων παρέλκει Ἀττικῶς· οἷον, ἐπ' οὐδενὶ ἄλλῳ τοσοῦτο θαῤῥεῖν ἔχοντες, ὅσον θαῤῥεῖν εἶχον ἐπὶ τῇ μικροψυχίᾳ. κ. τ. λ. — 9. Τῶν προειρημένων.) Τῆς ἀναχωρήσεως δηλ. εἰς τὸν Πόντον τοῦ μεγ. Βασιλ. καὶ Γρηγορίου· ἢ γοῦν τοὺς Τετράρχας λέγει μικροψυχήσαντας, καὶ τῷ Ἀρειανισμῷ προστεθέντας. — 10. Τοῦ τηνικαῦτα ἡμῶν προεδρεύοντος.) Ἐπισκόπου Καισαρείας προκατόχου τοῦ μεγ. Βασιλ. — 11. Καὶ τοῖς ἐν ἡμῖν ἀῤῥωστήμασιν.) Τῇ διαφορᾷ δηλ. ἣν εἶχεν ὁ μέγ. Βασιλ. πρὸς τὸν πρὸ αὐτοῦ Καισαρείας ἐπίσκοπον· ὡς εἴρηται· λζ'.

§ 41. 2. Πολύς.) Διότι ἦν κατὰ τοῦ βασιλέως αὐτοῦ. — 3. Τὸν προαγωνιστήν.) Τινὰ σοφὸν δηλ. προαγωνιζόμενον· οἷος ἦν ὁ μέγ. Βασίλ. — 4. Ἀμφοτέροις.) Ἐμοῦ τε καὶ τοῦ μεγ. Βασιλ. ὡς πρὸ τοῦ λόγου βεβλημένοις· οἷον· ὑπὲρ τοῦ λόγου προτιθεμένοις. — 5. Ἡττήθη.) Ἥττων ἐγένετο. — 6. Τὸν τῆς ἀδείας.) Καιρὸν δηλ. καὶ ἐστὶν ἐπεξήγησις τοῦ, ἄλλον· ὥσπερ καὶ τὸ, Τὸν τῆς ἀνάγκης. — 7. Καὶ ζηλοτυπεῖ.) Κατὰ μεταφορὰν τῆς ἀνδρὸς πρὸς τὴν γυναῖκα ζηλοτυπίας· τοιοῦτον γὰρ ζῆλον ἔλαβεν ὁ μέγ. Βασίλ. ὁρῶν τὴν ἀλήθειαν κινδυνεύουσαν. — 8. Φέρων . . . δίδωσι.) Φράσις Ἑλληνισμοῦ· ἀντὶ παρέδωκεν ἑαυτὸν τῇ μητρὶ Ἐκκλησίᾳ.

§ 42. 2. Ἆρ' οὖν προεθυμήθη.) Τὸ κλιμακωτὸν τοῦτο σχῆμα ἐσχημάτισται κατὰ μίμησιν τοῦ Δημοσθένους ἐν τῷ περὶ Στεφάνου· ὅς τις οὑτωσὶ λέγει· οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ'

ΙΩΑΝΝΙΝΑ 2006

προθυμίας ἔλαττον; ἢ διαγωνίζεται μὲν ἀνδρικῶς, οὐ συνετῶς δέ; ἢ πεπαιδευμένως μέν, ἀκινδύνως δέ; ἢ πάντα μὲν ταῦτα τελείως καὶ ὑπὲρ λόγον, ὑπελείπετο δέ τι τῆς μικροψυχίας ἐν αὐτῷ λείψανον; οὐδαμῶς. Ἀλλ' ὁμοῦ τὰ πάντα καταλλάττεται, βουλεύεται, παρατάττεται· λύει τὰ ἐν τῷ μέσῳ σκῶλα καὶ προσκώμματα, καὶ οἷς ἐκεῖνοι[3] θαῤῥοῦντες, καθ' ἡμῶν ἐστρατεύσαντο, τὸ μὲν προσλαμβάνει,[4] τὸ δὲ κατέχει, τὸ δ' ἀποκρούεται. Γίνεται τοῖς μὲν[5] τεῖχος ὀχυρὸν καὶ χαράκωμα, τοῖς δὲ[6] πέλεκυς κόπτων πέτραν, ἢ πῦρ ἐν ἀκάνθαις (ὅ φησιν ἡ θεία[7] γραφή) ῥᾳδίως ἀναλίσκων τοὺς φρυγανώδεις καὶ ὑβριστὰς τῆς θεότητος. Εἰ δέ τι καὶ Βαρνάβας[8] ὁ ταῦτα λέγων καὶ γράφων Παύλῳ συνηγωνίσατο, Παύλῳ χάρις τῷ προελομένῳ[9] καὶ συνεργὸν ποιησαμένῳ τοῦ ἀγωνίσματος.

§ 43. Οἱ μὲν οὖν[2] οὕτως ἀπῆλθον ἄπρακτοι, καὶ κακοὶ κακῶς τότε πρῶτον αἰσχυνθέντες, καὶ ἡττηθέντες, καὶ μαθόντες μὴ ῥᾳδίως Καππαδοκῶν καταφρονεῖν, εἰ καὶ πάντων[3] ἀνθρώπων, ὧν[4] οὐδὲν οὕτως ἴδιον ὡς τὸ τῆς πίστεως ἀῤῥαγὲς, καὶ πρὸς τὴν Τριάδα πιστὸν καὶ γνήσιον, παρ' ἧς[5] καὶ τὸ ἡνῶσθαι, καὶ τὸ ἰσχύειν αὐτοῖς, ἃ βοηθοῦσι[6] βοηθουμένοις· μᾶλλον δὲ[7] πολλῷ κρείττω καὶ ἰσχυρότερα. Τῷ δέ τι[8] δεύτερον ἔργον καὶ σπούδασμα γίνεται, θεραπεύειν τὸν πρόεδρον,[9] λύειν τὴν ὑποψίαν, πείθειν πάντας ἀνθρώπους, ὡς ἃ μὲν λελύπητε, πεῖρά τις ἦν τοῦ πονηροῦ[10] καὶ πάλη, ταῖς εἰς τὸ καλὸν ὁμονοίαις βασκαίνοντος· αὐτὸς δὲ[11] ᾔδει νόμους εὐπειθείας, καὶ πνευματικῆς τάξεως. Διὰ τοῦτο παρῆν, ἐσόφιζεν, ὑπήκουεν, ἐνουθέτει· πάντα ἦν αὐτῷ, σύμβουλος ἀγαθὸς, παραστάτης δεξιὸς, τῶν θείων ἐξηγητὴς, τῶν πρακτέων[12] καθη-

---

ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δέ· οὐδ', ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους. — 3. Καὶ οἷς ἐκεῖνοι.) Τῇ μικροψυχίᾳ δηλ. τῶν προειρημένων, τῇ ἀπειρίᾳ τοῦ προεδρεύοντος, καὶ τοῖς ἀῤῥωστήμασι. — 4. Τὸ μὲν προσλαμβάνει.) Τὴν μικροψυχίαν πρὸς ἑαυτὸν μεθίστησι· τὴν δ' ἀπειρίαν κατέχει· καὶ τὰ ἀῤῥωστήματα ἀποκρούεται. — 5. Τοῖς μέν.) Ὀρθοδόξοις δηλ. — 6. Τοῖς δέ. Αἱρετικοῖς δηλ. — 7. Ὅ φησιν ἡ θεία.) Ψαλμ. ριή. 12. — 8. Βαρνάβας. . . .) Ἑαυτὸν λέγει Βαρνάβαν· Καὶ γὰρ ὅτε ἦν συζήτησις ἐν τοῖς πιστεύουσιν, εἰ χρὴ περιτέμνεσθαι, Βαρνάβας συνηγωνίζετο Παύλῳ· Πράξ. Ἀποστ. ιέ. 1 . . . 30. — 9. Τῷ προελομένῳ.) Μεγ Βασιλείῳ.

§ 43. 2. Οἱ μὲν οὖν.) Αἱρετικοὶ, οἱ περὶ τὸν Οὐάλεντα ἐπίσκοποι, οἱ οἰηθέντες καὶ ἡμᾶς πρὸς ἑαυτοὺς ἑλκύσαι. — 3. Εἰ καὶ πάντων.) Ἔστιν αὐτοῖς καταφρονεῖν. — 4. Ὧν.) Καππαδοκῶν. — 5. Παρ' ἧς.) Ἁγίας Τριάδος δίδοται αὐτοῖς καὶ τὸ ἡνῶσθαι καὶ τὸ ἰσχύειν· ὅπερ ἐστὶ χάριτι τῆς ἁγίας Τριάδος συνδεδεμένοι εἰσὶ τῇ ψυχῇ καὶ σύμφωνοι, καὶ ἰσχὺν ἔχουσι κατὰ παντὸς ἀντικειμένου αὐτοῖς. — 6. Ἃ βοηθοῦσι.) Τὸ ἡνῶσθαι καὶ τὸ ἰσχύειν δηλ. Ταῦτα γὰρ βοηθοῦσι τοῖς ἐθέλουσι βοηθεῖσθαι ὑπ' αὐτῶν. — 7. Μᾶλλον δέ.) Βοηθοῦσιν ἀλλὰ πολλῷ τούτων κρείττω. — 8. Τῷ δέ τι.) Τῷ δὲ Βασιλείῳ πρὸς τῷ πρώτῳ καὶ δεύτερόν τι ἔργον γίνεται. — 9. Τὸν πρόεδρον.) Εὐσέβειον. — 10. Τοῦ πονηροῦ.) Διαβόλου δηλ. οὗτος γὰρ ἀεὶ βασκάνῳ ὁρᾷ ὀφθαλμῷ πᾶσαν εἰς τὸ καλὸν ὁμόνοιαν. — 11. Αὐτὸς δέ.) Ὁ μέγ. Βασίλ. — 12. Τῶν πρακτέων.) Ἤτοι καθηγούμενος ἐκείνων, ἃ δεῖ πράττεσθαι. —

γητὴς, γήρως βακτηρία, πίστεως ἔρεισμα, τῶν ἔνδον[13] ὁ πιστότατος, τῶν ἐκτὸς[14] ὁ πρακτικώτατος. Ἑνὶ λόγῳ, τοσοῦτος εἰς εὔνοιαν, ὅσος εἰς ἔχθραν τὸ πρὶν ἐνομίζετο.

§ 44. Ἐντεῦθεν αὐτῷ περιῆν[2] καὶ τὸ κράτος τῆς Ἐκκλησίας, εἰ καὶ τῆς καθέδρας εἶχε τὰ δεύτερα· τὴν γὰρ εὔνοιαν εἰσφέρων, τὴν ἐξουσίαν ἀντελάμβανε. Καὶ ἦν θαυμαστή τις ἡ συμφωνία καὶ ἡ πλοκὴ τοῦ δύνασθαι, ὁ μὲν[3] τὸν λαὸν ἦγεν, ὁ δὲ[4] τὸν ἄγοντα· καὶ οἷον λεοντοκόμος τις ἦν, τέχνῃ τιθασσεύων τὸν δυναστεύοντα. Καὶ γὰρ ἐδεῖτο,[5] νεωστὶ μὲν ἐπὶ τὴν καθέδραν τεθείς· ἔτι δὲ τῆς κοσμικῆς ὕλης τι πνέων, οὔπω δὲ κατηρτισμένος ἐν τοῖς τοῦ πνεύματος, πολλοῦ δὲ τοῦ κλύδωνος περιζέοντος, καὶ τῶν ἐπικειμένων τῆς Ἐκκλησίας ἐχθρῶν, τοῦ χειραγωγοῦντος, καὶ ὑπερείδοντος. Διὰ τοῦτο καὶ τὴν συμμαχίαν[6] ἠγάπα, καὶ κρατοῦντος ἐκείνου[7] κρατεῖν αὐτὸς[8] ὑπελάμβανε.

§ 45. Τῆς δὲ περὶ τὴν Ἐκκλησίαν τοῦ ἀνδρὸς κηδαιμονίας καὶ προστασίας, πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα. Παῤῥησία πρὸς τοὺς ἄρχοντας τούς τε ἄλλους καὶ τοὺς δυνατωτάτους τῆς πόλεως· διαφορῶν λύσεις[2] οὐκ ἀπιστούμεναι, ἀλλ᾽ ὑπὸ τῆς ἐκείνου φωνῆς τυπούμεναι, νόμῳ τῷ τρόπῳ χρώμεναι· προστασίαι τῶν δεομένων, αἱ μὲν πλείους πνευματικαί, οὐκ ὀλίγαι δὲ καὶ σωματικαί· καὶ γὰρ καὶ τοῦτο πολλάκις εἰς ψυχὴν φέρει δι᾽ εὐνοίας δουλούμενον. Πτωχοτροφίαι,[3] ξενοδοχεῖαι, παρθενοκομίαι, νομοθεσίαι μοναστῶν[4] ἔγγραφοί τε καὶ ἄγραφοι· εὐχῶν διατάξεις, εὐκοσμίαι τοῦ βήματος·[5] τἆλλα, οἷς ἂν ὁ ἀληθῶς ἄνθρωπος τοῦ Θεοῦ, καὶ μετὰ Θεοῦ τεταγμένος, λαὸν ὠφελήσειεν. Ἓν δὲ, ὁ μέγιστόν τε καὶ γνωριμώτατον· Λιμὸς ἦν καὶ τῶν πώποτε μνημονευομένων ὁ χαλεπώτατος· ἔκαμνε δὲ ἡ πόλις· ἐπικουρία δὲ ἦν οὐδαμόθεν, οὐδέ τι φάρμακον

---

13. Τῶν ἔνδον.) Βήματος ἐλλείπει· καὶ δηλοῖ τῶν πιστῶν· ἢ ἐὰν περὶ λόγων ὁ λόγος, τὰς γραφὰς δηλοῖ. — 14. Τῶν ἐκτός.) Ἤτοι πολιτικῶν, ἤγουν τῆς θύραθεν σοφίας, καὶ Ἑλληνικῆς παιδείας.

§. 44. 2. Περιῆν.) Εἶχε δηλαδὴ τὸ κράτος τῆς Ἐκκλησίας, καίτοι πρεσβύτερος ὢν τὴν ἀξίαν. — 3. Ὁ μέν.) Εὐσέβειος ἐπίσκοπος ὤν. — 4. Ὁ δέ.) Βασίλειος διὰ τῆς εὐνοίας πρὸς ἑαυτὸν ἕλκων τὸν Εὐσέβειον. — 5. Καὶ γὰρ ἐδεῖτο.) Ὁ Εὐσέβειος· ἡ δὲ σύνταξις· Καὶ γὰρ ὁ Εὐσέβειος, νεωστὶ μὲν ἐπὶ τὴν καθέδραν τεθείς, ἔτι δὲ . . . ἐχθρῶν, ἐδεῖτο τοῦ χειραγωγ. — 6. Συμμαχίαν.) Τοῦ μεγ. Βασιλ. — 7. Ἐκείνου.) Τοῦ μεγ. Βασιλείου. — 8. Αὐτός.) Ὁ Εὐσέβειος.

§. 45. 2. Διαφορῶν λύσεις.) Τὰς διενέξεις καὶ μάχας ἐνίων λέγει· ἃς ὁ μέγας Βασίλειος ἔλυε βεβαίως, χωρίς τινος ὑποψίας· ὥσθ᾽ ὁ τρόπος, καθ᾽ ὃν τὰς διαφορὰς ἔλυε, νόμος ἐγίγνετο, ὥστε τὰ αὐτὰ ὁμοίως λύεσθαι. — 3. Πτωχοτροφίαι.) Ἐπεξήγησις τῶν σωματικῶν προστασιῶν. — 4. Νομοθεσίαι μοναστῶν.) Τὰ ἀσκητικὰ λέγει, ἔνθα, ὅπως τοὺς μοναστὰς βιῶναι δεῖ, διαλαμβάνει· περὶ ὧν φασί τινες, ὧν καὶ Νικηφόρος, μὴ εἶναι τοῦ μεγ. Βασιλ. ἀλλ᾽ Εὐσταθείου Σεβαστείας ἐπισκόπου· Νικήτας δὲ Σεῤῥῶν, Βασιλ. εἶναι λέγει, ἐκ τῆς ὑφῆς τοῦ λόγου ἐπιχειρῶν. — 5. Εὐχῶν διατάξεις, εὐκοσμίαι τοῦ βήματος.) Πολλὰς ἄλλας τε εὐχὰς λέγει τοῦ μεγ. Βασιλ. καὶ τὴν ἱερὰν μυσταγωγίαν· τοῦτ᾽ ἔστι. τὴν καὶ ἱερὰν